μιῇ καὶ εἴκοσιν ἡμέρῃσιν ὡς τὰ πολλά. Ἢν δέ οἱ [1] ἡ κάθαρσις ἄνω ὁρμηθεῖσα κατὰ τὸ στόμα μὴ ἔλθῃ, μηδὲ ἐς τὸν πλεύμονα τράπηται, τρέψεταί οἱ [2] ἐς τὸ πρόσωπον τὰ λοχεῖα, καὶ ἔσται ἐρυθρὸν κάρτα, καὶ ἡ κεφαλὴ βαρέη, οὐδὲ κινῆσαι αὐτὴν ἔσται πόνων ἄτερ, [3] καὶ οἱ ὀφθαλμοὶ ἐρυθροὶ κάρτα ἔσονται, καὶ ἐκ σφέων αἷμα ῥεύσεται λεπτόν· καὶ ἐκ τῶν ῥινῶν [4] ἔστιν ᾗσιν αἷμα ῥέει, καὶ ἢν τοῦτο ἴῃ, ὧδε χρονιωτέρη ἡ νοῦσος γίνεται· τοῖσί [5] τε οὔασιν οὐκ ὀξέως ἔστι τὸ ἀκούειν ἐκ τῆς νούσου· καὶ [6] καρδιώξει, καὶ ἐρεύξεται, καὶ ἀλλοφάσσει, καὶ παράνοιαι γίνονται μανιώδεες· ἔστι δ' ᾗσι θράσος ὀμμάτων ἰλλωδέων· καὶ [7] τἄλλα πάντα πονήσει, ὅκως καὶ ἐς τὸν πλεύμονα, ὡς εἴρηται, ἢν ἡ κάθαρσις τράπηται, πλὴν οὐ βήξει οὐδὲ πτύσεται τοιαῦτα, οὐδὲ τὸ μετάφρενον ἀλγήσει ὁμοίως. Μελεδαινομένη μὲν ἥδε ὑγιαίνει· οὐ πολλαὶ [8] δὲ ἐλπίδες εἰσὶ περιγενέσθαι· ἢν [9] δὲ ἄρα καὶ περιγένηται, κώφωσις ἔσται ὀφθαλμῶν ἢ ἀκοῆς τὸ ἐπίπαν. Ἀμφὶ τῆσδε τῆς νούσου ὧδε τελευτῇ.

42. Ἢν [10] ἐκ τόκου ῥόος λαμβάνῃ καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μὴ ἐμμείνῃ, ἀσταφίδα μέλαιναν καὶ ῥοιῆς γλυκείης τὰ ἔνδον τρίψας, οἴνῳ διεὶς μελανιχρόῳ, τυρὸν ἐπιξύσας αἴγειον, καὶ ἄλφιτα πύρινα πεφρυγμένα ἐπιπάσας, εὔκρητον δίδου.

43. Ἢν [11] δὲ αἷμα ἐκ τόκου ἐμέσῃ, τοῦ ἥπατος θρὶξ τέτρωται, καὶ ὀδύνη πρὸς τὰ σπλάγχνα φοιτᾷ, καὶ τὴν καρδίην σπᾶται. Ταύτην χρὴ λούειν πολλῷ θερμῷ, καὶ τῶν γλιχσμάτων ἃ μάλιστα προσδέ-

[1] Ἡ DHIJK. – ἡ om. vulg. – ἀνορμήσασα (ἄνω ὁρμήσασα C; ἄνω ὁρμιθεῖσα θ) vulg. – τὸ om. Cθ. – μηδ' Cθ. – ἢ δὲ pro μηδὲ L. – εἰς vulg. – ἐς Cθ. – πλ. CIJθ, Lind. – πν. vulg. — [2] εἰς DK. – λόχια CDJ. – καί οἱ ἐρ. κάρτα ἔσται Cθ. – βαρείη vulg. – βαρέη θ. – Ante οὐδὲ addit καὶ J. – οὐδὲ κινῆσαι ἄτερ πόνου οἵη τε Cθ. – αὐτὰ pro αὐτὴν Ald. — [3] Ante καὶ addunt ἢν δὲ DFGHIJK, Ald. – οἱ om. C. – ἡ pro οἱ Ald. – ἐρυθροὶ om. (D, restit. al. manu post ἔσονται) FGHJ, Ald. – ἔσοιντο (sic) J. – σφῶν vulg. – σφέων θ. – ἐρεύσεται (sic) θ. — [4] ἔστιν (ἔστι δ' DGHIK) οἷσιν (ᾗσιν DFGHIJKθ) (ἐς τὴν ἴησιν C) αἷ. ῥεῖ (ῥέει C) vulg. – καί τ' ἢν τοῦτ' εἴη C. — [5] δὲ pro τε Cθ. – οὐκ ὠκέως εἰσακούει θ. – ὀξέος Ald. – ἀκοῦσαι sine τὸ C. – ἐν τῇ νούσῳ (νόσῳ HIJK) vulg. – ἐκ τῆς νούσου θ. — [6] καρδιώσσει θ. – ἀλλοφρονήσει vulg. – ἀλλοφάσσει θ. – παράννοιαι G. – παράνοια C. – γίγν. C. – δὲ C. – οἷσι FHI, Ald., Frob. – θάρσος θ. — [7] τὰ ἄλλα C. – πον. πάντα J. – ὅπως θ. – πν. DFGHJK. – πτύσσεται DJ. – μελεδ. δὲ ὑγιαίνει vulg. – καὶ μελεδ. ὑγιαίνει θ. – μελεδ. μὲν ἥδε ὑγιαίνει C. — [8] δ' θ. — [9] δ' DFGHIJK, Ald., Cordæus. – ἄρα θ. – περιγίγνηται C. – ἔσται οἱ ἡ τύφλωσις (ὀφθαλμῶν ἢ ἀκοῆς pro οἱ ἡ τ. Cθ) vulg. – τουπίπαν J. – τῆσδε om. C. – τῆς om. θ. – νόσου vulg. – νούσου FHIJKθ, Lind. – αἱ δε

Si la purgation lochiale, s'étant portée en haut, ne s'échappe pas par la bouche et ne se tourne pas non plus sur le poumon, elle se tournera sur le visage, qui deviendra très-rouge, la tête sera pesante, et la femme ne pourra la mouvoir sans douleur; les yeux seront très-rouges, et il s'en écoulera du sang ténu. En quelques cas, du sang s'échappe par les narines, et, quand il en est ainsi, la maladie a une durée plus longue. Dans cette affection, l'ouïe devient dure; il y a de la cardialgie, des éructations, du délire, des transports maniaques; en quelques cas, les yeux sont égarés et convulsés. La femme éprouve toutes les souffrances qui surviennent, comme il a été dit, quand la purgation se tourne sur le poumon, si ce n'est qu'elle ne tousse pas et ne crache pas de même; elle ne souffre pas, non plus, dans le dos. Traitée, elle guérit; toutefois les chances de guérison ne sont pas nombreuses; et si elle réchappe, il restera, en général, cécité ou surdité. C'est ainsi que se termine cette maladie.

42. (*Diarrhée après l'accouchement et remèdes.*) Si après l'accouchement (de la Nature de la Femme, § 51) il survient de la diarrhée et que les aliments ne demeurent pas dans le ventre, prenez du raisin sec noir et le dedans d'une grenade douce, pilez, délayez dans du vin noir, ratissez du fromage de chèvre, saupoudrez avec de la farine de blé grillée, et donnez à boire bien mélangé.

43. (*Hématémèse après l'accouchement, attribuée à une lésion du foie; traitement.*) Si la femme vomit du sang après l'accouchement (de la Nature de la Femme, § 52), le lobe du foie est blessé; de la douleur gagne les viscères, et

(sic) pro ὧδε J. – τελευτᾶ CFL, Lind. – τελευτῇ Cordæus. – τελευταὶ DHIJKθ. — [10] δ' ἐκ θ. – λαμβάνει CH. – γαστρὶ μείνῃ vulg. – γαστρὶ μὴ ἐνμένῃ θ. – χρὴ (χρὴ om. θ) μέλαιναν vulg. – τἄνδον Cθ. – τρῖψαι vulg. – τρίψας θ. – οἴνω δεῖς (οἰνωδίης sic C) ἐν μέλανι χρῶ (μελιχρόω pro ἐν μ. χρῶ C, θ μελανιχρῶ) vulg. – ἢ τυρὸν D. – αἴγιον C. – πύρρινα FGIK. – πεφριγμένα FI. – ἐπίπασαι (ἐπιπάσσαι FG; ἐπίπασσε CJL; ἐπιπάσας θ) καὶ (καὶ om. θ) εὔκρ. (ἄκρητον C) vulg. — [11] δὲ om. C. – ἐμέῃ CDHKθ. – τοῦ ἥπ. om. L. – ἡ σῦριγξ (θρὶξ pro ἡ σ. θ) vulg. – καρδίαν vulg. – καρδίην Jθ.

γεται προστιθέναι, καὶ πιπίσκειν ὄνου γάλα ἑπτὰ ἡμέρας ἢ πέντε· μετὰ δὲ [1] ταῦτα [2] πιπίσκειν βοὸς μελαίνης γάλα ἄσιτον ἐοῦσαν, εἰ [3] οἵη τε εἴη, ἡμέρας τεσσαράκοντα· ἐς δὲ τὴν ἑσπέρην σήσαμον τριπτὸν πιπίσκειν. Ἡ δὲ νοῦσος κινδυνώδης.

44. Τὸ δὲ γάλα [4] ὅκως γίνεται, εἴρηταί μοι ἐν τῇ γενέσει τοῦ παιδίου τῇ ἐν τόκῳ καὶ τἄλλα παραπλησίως. Ἢν [5] δὲ γάλα σβεσθῇ, πράσα τρίψας, διεὶς ὕδατι, δίδου πιεῖν· [6] καὶ τῷ θερμῷ λουέσθω; [7] καὶ πράσα καὶ κράμβην ἐσθιέτω· συνεψεῖν δὲ [8] καὶ κυτίσου φύλλα, καὶ τοῦ χυλοῦ ῥοφέειν· πιπίσκειν δὲ τοῦ μαράθρου τὸν καρπὸν καὶ τὰς ῥίζας, καὶ κριθὰς ἐπτισμένας καὶ βούτυρον ἑψήσας ὁμοῦ [9] καὶ ψύξας, δίδου πίνειν. Ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον καὶ τὸ ἱπποσέλινον καὶ κύτισος· ὁμοῦ ταῦτα πάντα γάλα πουλὺ ποιέει καὶ [10] αὔξει· σκυρίαι αἶγες, τυροὶ δὲ μάλιστα· ἀγαθὸν καὶ τὸν ἐλελίσφακον ἑψεῖν, [11] ἀρκευθίδων ἢ κεδρίδων ἀποχέουσα τὸν χυλὸν [12] καὶ οἶνον ἐπιχέουσα πινέτω, καὶ ἐς τὰ λοιπὰ ἔλαιον [13] ἐπιχέουσα ἐσθιέτω· καὶ τῶν δριμέων καὶ [14] τῶν ἁλμυρῶν καὶ ὀξέων καὶ ὠμῶν λαχάνων πάντων εἰργέσθω. Τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον ἀγαθόν· καὶ γὰρ τὸ γάλα καθαίρει· καὶ τῷ θερμῷ [15] λουέσθω, καὶ ἀπόθερμον πινέτω. Καὶ ἄγνου καρπὸν ἐν οἴνῳ διδόναι πίνειν· [16] καὶ γάλα πουλὺ ποιέει τεύτλου χυλὸς καὶ

[1] Ταῦτα om. θ. — [2] π. om. DFG (H, restit. al. manu) IJL. – ἀσιτεύσασα vulg. – ἀσιτήσασα Lind. – ἄσιτον ἐοῦσαν θ. — [3] οἴη F. – οιηται (sic) θ. – μ vulg. – τεσσαράκοντα CDHIJKθ. — [4] ὅπως θ. – γίνηται vulg. – γίνεται Jθ. – γίγνεται C. – φύσει pro γεν. L, Lind. – τὰ ἄλλα C. – παραπλ. om. Cθ. — [5] δὲ θ. – δὲ om. vulg. – πράσσα I – πράσω C. – διείς τε (τε om. Cθ) vulg. – πίνειν θ. — [6] καὶ ἐν (τῷ pro ἐν Cθ) θ. vulg. — [7] καὶ εἰς βρῶσιν (εἰς βρ. om. C) πράσα (πράσσα C) vulg. – συνέψειν C. — [8] καὶ om. Cθ. – κυτισοῦ F. – κυτίσσου D. – κυτισσοῦ CJK. – τὸν χυλὸν Cθ. – ῥοφεῖν θ. – πιπίσκειν δὲ καὶ τοῦ χυλοῦ τοῦ μαράθρου (μαράθου FGHIJKL), καὶ τοῦ ἀπὸ τῶν μαραθρείων (μαραθείων FGIJ, Ald.; μαραθρίων D; μαραθίων HKL) ῥιζῶν, καὶ κριθὰς vulg. – πιπίσκειν δὲ τοῦ μαράθρου (μαράθου θ) τὸν καρπὸν καὶ τὰς ῥίζας, καὶ κριθὰς Cθ. – ἐπτισμένας Fθ. – ἐπισμένας (sic) C. — [9] καὶ om. Cθ. – δὸς πιεῖν C. – πιεῖν θ. – ἱππομάραθον CFGHIKL, Ald. – κυτισὸς DJ. – κύτισσος D. – κυτισσὸς CK. – πάντα ταῦτα C. – πολὺ θ. — [10] ἄξει FGIJL, Vatic. Codd. ap. Foes in not., Ald. – ἄγει Lind. – ἄξει σκύρται· ἀγέστεροι δὲ (sic) C. – ἐξισκυριαι αιγες, τῦροι δὲ (sic) θ. – σκύριαι J. – σκυαῖγες (sic) pro σκ. αἶγες L. – Phrase probablement altérée, mais où je n'ai rien pu trouver qui me satisfît. – μάλιστα ἀγαθόν· ἀλλὰ καὶ vulg. – μάλιστα· ἀγαθὸν καὶ Cθ. – ἕψειν C. — [11] ἢ ἀπὸ (ἀπὸ om. θ) τῶν (ἢ ἀπὸ τῶν om. C) ἀρκ. (ἀρκευθιδίων C) vulg. – ἢ κεδ. om. θ. – Voy. le passage parallèle, de la Nat. de la Femme,

des spasmes saisissent le cardia. En ce cas, laver avec beaucoup d'eau chaude, appliquer les fomentations qui sont le mieux reçues, et donner à boire du lait d'ânesse pendant sept jours ou cinq; ensuite prescrire du lait de vache noire, à prendre à jeun, si elle peut, pendant quarante jours. Le soir, elle boira u sésame broyé. Cette maladie est dangereuse.

41. (*Moyens pour rappeler le lait supprimé.*) La formation du lait a été expliquée par moi dans la production de l'enfant, lors de l'accouchement, et le reste semblablement (de la Nature de l'Enfant, § 21). Si le lait (de la Nature de la Femme, § 93) se supprime, pilez des poireaux, trempez avec de l'eau, et donnez à boire. La femme se lavera aussi à l'eau chaude; elle mangera des poireaux et du chou; on y fera cuire dedans des feuilles de cytise, et elle boira cette eau. On donne en boisson la graine et la racine du fenouil, l'orge mondé, le beurre, qu'on fait cuire ensemble et qu'on laisse refroidir. Il est bon encore d'administrer l'hippomarathron (*anethum segetum*), et l'hipposelinon (*smyrnium olusatrum*), et le cytise. Tout cela ensemble rend le lait abondant, les chèvres de Scyros, et les fromages surtout. Il est bon encore de faire cuire de la sauge, d'ajouter des baies d'arkeuthos (*juniperus phœnicea*) ou de cedros (*juniperus oxycedrus*), transvaser, ajouter du vin et boire; pour ce qui reste, elle y versera de l'huile et mangera. Elle s'abstiendra de ce qui est âcre, salé, acide et de tous les légumes crus. Le cardame (*erucaria aleppica*), pris dans du vin, est bon; car il provoque le lait; elle se lavera à l'eau chaude et boira l'apothermon (*sorte de boisson*). Donnez à boire le fruit du vitex dans du vin. Abondance de lait est produite aussi par la décoction de

§ 93. – Ante κε. addit τῶν D. – κεδρίνων DFHIJK, Ald. – κεδρίων C. — [12] καὶ om. θ. — [13] ἐπιχέασα θ. — [14] τῶν om. J. – Ante ὀξέων addit [τῶν] Lind. – δὲ om. J. – γὰρ om. C. — [15] λούσθω FIJK. – ἀπὸ θερμῶν θ. – αινου (sic) pro ἄγνου θ. — [16] γάλα πολὺ ποιεῖ (ποιέει θ) (addit καὶ θ) τεύτλου χυλὸς καὶ σ. ἀπ' αὐτοῦ C (θ, ἀπ' αὐτου). – καὶ ὁ χυλὸς τοῦ τεύτλου γαλὰ πουλὺ ποιεῖ πινόμενος (πινόμενον HI) καὶ σ. ἀπ' αὐτοῦ vulg. – τριμηνιέων CFGIJ, Ald., Frob. – εἰς C. – θυίαν CDFGHIJKθ, Ald., Frob., Cordæus, Lind.

σησάμου ἀπλύτου καὶ κριθέων τριμηνιαίων, ἐμβαλὼν ἐς θυείαν, τρίψας πάντα, δι' [1]ὀθονίου ἐκχυλίσας, παραμίξας μέλι ἢ ἀμαμηλίδας, εἶτα ἐπ' οἴνῳ μέλανι διδόναι πίνειν.

45. [2]Ὅταν γυνὴ τέκῃ καὶ τοῦ ὑστέρου ἀπαλλαγῇ, διδόναι ἄμεινον, ὑφ' ὧν μάλιστα καθαίρεται τὰ λοχεῖα, σκόροδα ἑφθὰ ἢ ὀπτὰ ἐν οἴνῳ καὶ ἐλαίῳ μετὰ πουλυποδίων καὶ σηπιδίων ἐπ' ἀνθράκων, ὅ τι ἂν βούληται τουτέων· [3]κάστορα δὲ ἢ νάρδον πινέτω· πίνειν δὲ καὶ πήγανον ἐν οἴνῳ μέλανι γλυκεῖ, νῆστις ἢ ἄνευ οἴνου· ἢν δὲ μὴ γλυκὺς ᾖ, ἄμεινον μέλι παραμίσγειν· [4]καὶ κράμβην ἑφθὴν ὁμοῦ πηγάνῳ καὶ λινοζώστει, καὶ τῶν σπερματίων τι πίνειν τῶν ὑστερικῶν. Ἢν δὲ [5]θρομβωθῇ καὶ πόνος ἐν νειαίρῃ τῇ γαστρὶ γένηται, διδόναι πράσα ἑφθὰ, καὶ ὅσα ἄγρια καὶ ἥμερα· λιπαρὰ δὲ ποιέειν ἅπαντα· λούεσθαι δὲ [6]καὶ διὰ τρίτης ἡμέρης ἐν εὐδίῃ, [7]τὸ γὰρ ψῦχος ταύτῃσιν ἐναντίον· καὶ μετὰ τὸ λουτρὸν ἐπαλείφειν· ἄμεινον μὴ πολλῷ θερμῷ χρῆσθαι.

46. Ὅταν τὸ ὕστερον μὴ αὐτίκα [8]ἀπίῃ μετὰ τὸν τόκον, τῆς νειαίρης γαστρὸς γίνονται πόνοι [9]καὶ ἐν κενεῶσι, καὶ ῥίγεα καὶ πυρετοί· κἢν ἀπαλλάσσηται τὸ ὕστερον, ὑγιαίνει καὶ ἡ γυνή· σήπεται δὲ ἐπὶ τὸ πουλύ· [10]ἀπαλλάσσεται δὲ ἑκταίη ἢ ἑβδομαίη [11]ἢ καὶ ἀνωτέρω ἔτι. Τῇ τοιαύτῃ χρὴ διδόναι φάρμακα, ὧν ἂν ἐγὼ γράψω, καὶ πνεῦμα κατ-

[1] Ὀθονίου τὸν χυλὸν ἐπιχέας (ἐπιχέουσα FGHIJ, K ἐπιχέων, Ald.) καὶ (καὶ om. FGHIJK) (τὸν χ. ἐπ. καὶ om. Cθ) ἐκχυλίσας (ἐκχυλήσας C) παραμίξας (παραμάξας C) δὲ καὶ (δὲ καὶ om. Cθ) μέλι vulg.–. εἶτ' ἐν C. –πιεῖν C. –Gal. Gl. : ἀμαμηλίδας, εἶδός τι μεσπίλου πλεῖστον ἐν Ἰταλίᾳ γενόμενον, ὡς καὶ Διοσκουρίδης λέγει· τινὲς δὲ τὰς ἐπιμαλίδας φασὶν εἶναι μῆλα σμικρὰ ἄγρια. — [2] ὅταν γὰρ γυνὴ DLQ'. – Post ὅταν addit τοίνυν K. – γὰρ pro γυνὴ FG (H, γυνὴ al. manu) J. – μὴ (μὴ om. θ) ἀπαλλ. vulg. – Ante καθ. addit καὶ J. – λόχια CD. – λοχία J. – ὀπτὰ ἢ ἑφθὰ C. – πολυποδίων C. – σιπιδίων FI. – σηπίων θ. – σιπυδίων J. – ἐπ' ἀνθρ. (ἀπανθράκων Cθ) δὲ (δὲ om. Cθ) ὅ τι ἂν (ἢν pro ἂν C) β. τ. (τ. δὲ ὅ τι ἂν β. Lind.) vulg. — [3] ἢ κάστορα sine δὲ Cθ. – πινέτω om. θ. – πίνειν om. C. – ἢ pro δὲ καὶ θ. – καὶ om. C. – νῆστιν θ. – γλυκὺς ὁ οἶνος ᾖ vulg. – γλυκὺς ἢ C (θ, ἢ γλυκύς). — [4] καὶ θ. – καὶ om. vulg. – λινοζωστι (sic) θ. – λίνω ζωστὴ (sic) C. – σπερμάτων C. – τι om. CK. — [5] θρομβοθῇ θ. – νιαίρη θ. – νειέρη FGIK, Ald., Frob. – τῇ νειαιρῇ γ. Lind. – τῇ om. C. – πράσσα C. — [6] καὶ om. Cθ. – εὐδία K. – εὐδείη C. — [7] ψύχος (ψῦχος θ) γὰρ sine τὸ Cθ. – ταύτῃσιν om. (D, restit. al. manu) FGHJL. – ὑπαλείφειν vulg. – ἐπαλείφειν C. – ἐπαλίφειν θ. – Post ἄμ. addunt δὲ Lind. ; καὶ J. – χρῆσθαι om. Cθ. — [8] ἀνίῃ C. – τῆς om. (D, restit. al. manu) H. – νιαίρης θ. – νειαιρῆς Lind. – νειέρης FK, Ald., Frob., Cordæus. – νειε-

bette, de sésame non lavé et d'orge de trois mois ; on jette dans un mortier, on pile le tout, on extrait le jus à travers un linge, on mêle du miel ou des amamélides (*sorte de sorbe ou de poire*, voy. note 1); puis on donne à boire dans du vin noir.

45. (*Moyens pour faire bien couler les lochies.*) Quand une femme ayant accouché est délivrée des secondines, il vaut mieux donner ce qui évacue surtout les lochies : de l'ail bouilli ou grillé, dans du vin et de l'huile, avec de petits poulpes et de petites sèches sur des charbons, celui des deux aliments qu'elle voudra ; elle boira du castoréum ou du nard ; elle boira aussi de la rue dans du vin noir doux, à jeun ou sans vin ; s'il n'y a pas de vin doux, il vaut mieux y mêler du miel. Prendre aussi du chou cuit avec de la rue et de la mercuriale, et boire quelques-unes des graines qui sont bonnes pour l'utérus. Si les lochies se coagulent et causent de la douleur dans le bas-ventre, donner des poireaux bouillis, et ce qui est sauvage et cultivé ; il faut tout préparer au gras ; la femme se lavera tous les trois jours par un temps chaud ; car le froid est nuisible en ce cas ; après le bain, elle s'oindra ; il vaut mieux ne pas user de beaucoup d'eau chaude.

46. (*Moyen pour faire sortir l'arrière-faix. L'auteur explique comment il est quelquefois retenu.*) Quand l'arrière-faix ne s'en va pas aussitôt après l'accouchement, il survient des douleurs au bas-ventre et aux flancs ; frissons, fièvres ; quand l'arrière-faix s'en va, la femme guérit ; il se corrompt le plus souvent ; il s'en va le sixième jour, ou le septième ou même plus tard. Dans ce cas, il faut donner les remèdes que j'écrirai, et retenir la respiration. Ce qu'il y a de mieux, c'est l'armoise, le dictame, la fleur de violette blanche (*chei-*

ρῇς GI. – γίγν. C. — [9] καὶ θ. – καὶ vulg. – κενεῶνι θ. – κἂν C. – καὶ pro κῆν θ. – Ante ὑγ. addunt καὶ Cθ. – ὑγιαίνῃ C. – δὲ πουλὺ (πολὺ C; ἐπὶ τὸ πολὺ θ) vulg. — [10] ἀπαλάσσεται K. – ἀπαλλάσσηται C. — [11] ἢ om. Cθ – καὶ om. (D, restit. al. manu) FGHIJK. – ἀνωτέρω ἐπὶ (ἔτι C) τῇ vulg. – χρὴ om. Cθ.

ἔχειν· ἄριστον [1] δὲ πάντων ἀρτεμισίη βοτάνη, καὶ δίκταμνον, καὶ λευκοΐου ἄνθος· καὶ ὀπὸς σιλφίου, κράτιστον ἐν ὕδατι πινόμενος ὅσον κύαμος ἑλληνικός. [2] Ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, ἀσιτέειν· κἄπειτα πέταλα τῆς ἄγνου τρίψας ἐν οἴνῳ καὶ μέλιτι καὶ ἔλαιον ἐπιχέας, χλιάνας, δίδου πίνειν ὅσον κοτύλην, [3] καὶ ἔξεισιν. Ἢν [4] δὲ γυναικὶ τὸ χορίον ἐλλειφθῇ ἐν τῇσι μήτρῃσι, τοῦτο [5] δὲ γίνεται, ἢν ῥαγῇ βίῃ ὁ ὀμφαλὸς ἢ ἀμαθίῃ ὑποτάμῃ [6] ἡ ὀμφαλητόμος τὸν ὀμφαλὸν τοῦ παιδίου πρόσθεν ἢ τὸ χορίον ἐξιέναι ἐκ τῶν μητρέων, αἱ [7] μῆτραι ἀνασπῶσι τὸ ὕστερον ἄνω, ἅτε ὀλισθηρὸν ἐὸν καὶ χεόμενον, καὶ κατίσχουσιν ἐν ἑωυτῇσι· τέταται γὰρ τὸ χορίον ἐκ τοῦ ὀμφαλοῦ τοῦ παιδίου, καὶ ὕστερος ἔξεισιν ὁ ὀμφαλὸς ἐκ τῶν μητρέων· ἢν γὰρ πρότερος [8] ἐξίῃ, δι' αὐτοῦ οὐκ ἂν διέλθοι τῷ παιδίῳ ἡ τροφὴ, ὅτι ἐξήρτηται ἐξ αὐτέου.

47. Ὅταν [9] δὲ ἐν γαστρὶ ἔχουσα φθείρῃ τὸ ἔμβρυον μηνιαῖον ἢ διμηνιαῖον ἐὸν, καὶ ἐξιέναι μὴ δύνηται, ᾗ δὲ λεπτὴ, ταύτης χρὴ [10] τηνικαῦτα καθῆραι τὸ σῶμα καὶ πιᾶναι· οὐ γὰρ πρότερον ἔξεισι τὰ ἔμβρυα σαπέντα, ἢν μὴ ἰσχυραὶ αἱ μῆτραι ἔωσι καὶ εὐπηγέες.

48. [11] Ἢν γυναικὶ τὸ χορίον ἐλλειφθῇ, ἢν μὴ εὐρύστομοι αἱ μῆτραι ἔωσιν, χωρέει ἡ κάθαρσις ἔλασσον τοῦ καιροῦ, καὶ ἡ γαστὴρ σκληρὴ γίνεται καὶ μεγάλη, καὶ [12] περίψυξις γίνεται, καὶ πυρετὸς ὀξὺς, καὶ πόνος καθ' ἅπαν τὸ σῶμα, γαστρὸς δὲ τὸ κατώτερον τοῦ ὀμφαλοῦ, καὶ βρῖθος γίνεται ἐν τῇσι μήτρῃσι, καὶ στροφὴ [13] ὡς ἐμβρύου

[1] Δ' ἐγὼ J. – πάντων οἶδα (οἶδα om. Cθ) ἀρτεμισίην (ἀρτεμησίην FG, Ald.; ἀρτεμισίης C; ἀρτεμισίη θ) βοτάνην (βοτάνη θ) καὶ δίκταμνον (δίκταμον H) (addit καὶ θ) λευκοΐου ἄνθος, καὶ (καὶ om. C) ὀπὸν (ὀπὸς θ) σ. κρ. ἐν ὕδ. πινόμενον (πινόμενος θ) vulg. — [2] καὶ (καὶ om. Cθ) ἢν vulg. – ἀποφεύγειν Cθ. – ἀσιτεῖν κάπιτα θ. – τρίψαι θ. – ἐπιχέειν C. – ἐπιχεῖν καὶ χλιήραντα (sic) διδόναι θ. – δὸς πιεῖν C. — [3] καὶ om. C. – ἔξισιν θ. — [4] δὲ om. θ. – τι pro τὸ IK. – χορίον τι pro τὸ χ. G. – τι χόριον DJ. – χόριον C. – χωρίον H. – ἐλειφθῇ (sic) FGI. – ληφθείη C. – ἐνλιφθῇ θ. – τῇ μήτρῃ θ. — [5] δὲ ὧδε (ὧδε om. C) γίν. (γίν. ὧδε DFIJK) vulg. – βίῃ om. θ. — [6] ἢ FJ. – ἡ om. C. – ὀμφαλιτόμος FGHIK, Ald., Frob. – ὀμφαλοτόμος J. – ὀμφαντόμος (sic) C. – ὀμφαλητομοσιον (sic) ὀμφαλὸν θ. – πρόσθεν ταμοῦσα πρὶν (τα. πρὶν om. Cθ) ἢ (ἢ om. C) vulg. – χόριον CD. – χωρίον HK. — [7] μῆτραί τε (τε om. θ) vulg. – τὸ CDHIKθ, Cordæus, Lind. – τὸ om. vulg. – κατισχνοῦσιν vulg. – κατίσχουσιν, CHI, Cordæus, Lind. – κατισχοῦσιν JLθ – ἐν om. θ. – χόριον CDJ. – χωρίον H. – ἔξισιν θ. — [8] ἐξίοι vulg. – ἐξείῃ Kθ. – ἐξίῃ DJ. – δι' om. C. – διέλθῃ D. –

ranthus); bu dans l'eau, gros comme une fève grecque, le suc de silphion est très-puissant. Si l'arrière-faix ne peut pas sortir, garder l'abstinence; puis piler les feuilles du vitex dans du vin et du miel, verser de l'huile, faire tiédir, et donner à boire à la dose d'une cotyle (0litre,27); l'arrière-faix sort (de la Nature de la Femme, § 56). Le chorion demeure dans la matrice; cela arrive quand le cordon ombilical se rompt par une violence ou quand la femme qui le coupe le coupe, par ignorance, avant que le chorion soit sorti de la matrice; l'utérus attire en haut l'arrière-faix, qui est glissant et humide, et le retient en elle-même, car le chorion prend son origine au cordon ombilical de l'enfant; le cordon sort le dernier de la matrice; s'il sortait d'abord, ce ne serait pas lui qui conduirait la nourriture à l'enfant, parce qu'il y est suspendu.

47. (*Moyen pour faire sortir un fœtus mort à un ou deux mois.*) Quand chez une femme enceinte l'enfant meurt à un mois ou deux et ne peut sortir, si elle est maigre, il faut lui purger le corps et lui donner de l'embonpoint; car les embryons putréfiés ne sortent pas avant que la matrice soit forte et épaisse (Comp. de la Nat. de la F., § 19).

48. (*Chorion retenu, empêchant les lochies de couler.*) Quand le chorion est retenu, si la matrice n'a pas un orifice large, la purgation lochiale va moins qu'il ne faut, le ventre devient dur et gros; grand refroidissement, fièvre aiguë, douleur dans tout le corps et surtout à la région sous-ombilicale; un poids se fait sentir à la matrice, et des tranchées comme si un en-

διέλθοι om. θ. – ἡ τρ. τῷ π. Cθ. – καὶ ὅτι Cθ. – αὐτοῦ θ. — [9] δὲ om. Cθ. – διαφθείρῃ θ. – ἢ διμ. om. DK. – ἐὸν C. – ἐὸν om. vulg. – καὶ τὰ ὕστερα (τὰ ὕ. om. Cθ) ἐξ. vulg. – ἡ pro ἢ Cθ. — [10] αὐτίκα Cθ. – καθῆραι (sic) I. – πιάναι CGHIK. – ἐξείσισι (sic) C. – ἔμβρια C (ὕστερα, θ). – ἐῶσι θ. – εὐπατέες (sic) θ. — [11] ἢν δὲ Kθ. – γυν. om. θ. – χόριον CDJ. – χωρίον H. – ἐλλεφθῇ (sic) C. – μὲν pro μὴ CDFHIJKθ, Ald. – αἱ μ. εὐρ. CDHIKθ. – ἐῶσι θ. – εἰσχωρέει FGIJK. – ἐσχωρέει D. – χωρέειν C. – ἐλάσσων C. – ἰσχυρὴ pro σκληρὴ θ. – γίγν. C. — [12] ψύξις (περίψυξις Cθ) ἔχει (γίνεται θ) vulg. – Post πυρ. addit μιν C. – κατὰ πᾶν θ. – βρίθος FI. – γίγν. C. – μήτραισι G. — [13] ἕως vulg. – ὡς CLθ, Cordæus, Lind. – μελανθεῖσα DFGIJK, Ald. – χόριον CDJ. – χωρίον HK.

ἐόντος, καὶ μελεδανθεῖσα ἐκβάλλει τὸ χορίον ἐν τάχει σεσηπὸς, καὶ ὑγιαίνεται.

49. Ἢν [1] ἐκ τόκου ἡ μήτρη ἑλκωθῇ, ῥόδων ἄνθη ἰῆσθαι· διακλυζέσθω δὲ καὶ στρυφνοῖσιν. Ἢν [2] δὲ ἑλκωθῇ τὸ στόμα καὶ φλεγμήνῃ, σμύρναν καὶ στέαρ χήνειον καὶ κηρὸν λευκὸν καὶ λιβανωτὸν λαγωῇσι θριξὶ τῇσιν ὑπὸ τὴν γαστέρα μίσγειν, καὶ προστιθέναι ἐν εἰρίῳ λεια ποιεῦντα.

50. Ἢν [3] ἐκ τόκου φλεγμήνωσιν αἱ ὑστέραι, πυρετὸς ἴσχει τὸ σῶμα βληχρὸς, καὶ ἀχλύς· ἐκ δὲ τῆς κοιλίης οὐδέκοτε ἐκλείπει [4] τὸ πῦρ· καὶ διψῇ, καὶ τὰ ἰσχία ἀλγέει, καὶ οἰδέει τὴν γαστέρα τὴν νειαίρην ἰσχυρῶς, καὶ ἡ κοιλίη ταράσσεται· ὑποχώρημα δὲ κακὸν [5] καὶ ὀζόμενον, καὶ λάζεται τὸ πῦρ σφοδρὸν, καὶ ἀσιτίη ἔχει, καὶ κατὰ τὸ βρέγμα ὀδύνη, καὶ οὐ δύναται εἰρύσαι τῆς κοιλίης ὁ στόμαχος ποτὰ καὶ σιτία, καὶ ἀδυνατέει πέσσειν· καὶ ἢν μὴ θεραπεύωνται εὐθέως, [6] αἱ πλεῖσται θνήσκουσιν, ἡ κοιλίη δὲ αἰτίη. Τῆς ἀκτῆς οὖν τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κριμνοῖσιν ἑψήσας σιτανίοισιν, ἀκροχλίερον ῥοφέειν, [7] καὶ διδόναι μελίκρητον καὶ οἶνον ὑδαρέα, καὶ τὸ ἦτρον καταπλασσειν τοῖσι ψυκτικοῖσι, σιτίον δὲ ὡς ἐλάχιστον προσφέρειν, καὶ τὴν γαστέρα ἵστασθαι, καὶ τὴν κεφαλὴν [8] ἰῆσθαι, ὑποχόνδριον δὲ καταπλάσσειν.

51. Μητρέων ποτόν· [9] ἢν ἀλγέῃ ἐκ τόκου, ὁκόταν ἀλγέῃ τὴν ἕδρην ἢ ἄλλο τι, ἀρκεύθου καρπὸν ἢ λίνου σπέρμα καὶ κνίδης τρίβειν, καὶ διδόναι πίνειν. [10] Ἢν ἐκ τόκου ἀλγέῃ, ῥητίνην τερεβινθίνην καὶ μέλι

[1] Δ' ἐκ θ. – ἄνθει DLθ, Cordæus, Lind. – ἰήσασθαι θ. – καὶ om. Cθ. — [2] δ' θ. – ἑλκεωθῇ CGHJK. – χοίρινον pro χ. C. – χοίριον Vatic. Codd. ap. Foes in not. – χηνὸς θ. – θριξὶ G. – τριζιν (sic) C. – τὴν θ. – τὴν om. vulg. – λια (sic) θ. – ποιοῦντα vulg. – ποιέοντα θ. – ποιεῦντα C (H, al. manu). — [3] δ' ἐκ θ. – ἔχει βλ. τὸ σ. Cθ. – οὐδέποτε vulg. – οὐδέκοτε C. — [4] τὸ om. D. – νειαιραν (sic) θ. – νειαιρὴν Lind. – νειέρην FK, Ald, Frob., Cordæus. – νειερὴν Gl. — [5] καὶ om. Cθ. – ἀσιτία Ald. – ἀποσιτίη θ. – ἀσιτιεῖ pro ἀ. ἔχει C. – ἃ pro οὐ C. – εἰρῦσαι θ. – εἰρῆσαι K. – σιτα (sic) θ. – ἀδυναταίει θ. – θεραπεύονται θ. — [6] ἀπλεισται (sic) pro αἱ πλ. θ. – αἱ πλ. om. J. – οὖν θ. – οὖν om. vulg. – ὦ (sic) pro ὡς C. – ἀπαλώτερα GHIJ. – ἀπαλότατα C. – ἐμπύρρων (sic) pro ἐν π. DFGHI. – ἐμπύρων CJK. – σηταν. Dθ. – ἀκροχλίαρον vulg. – ἀκροχλιερὸν Cθ. – ῥοφῆν θ. — [7] διδόναι τε καὶ vulg. – καὶ διδόναι Cθ. – μελίκρητα θ. – καταπλᾶσαι θ. – σῖτον Cθ. – δὲ om. C. – ἐσθίειν vulg. (F, in marg. eadem manu εἰσφέρειν). – προσφέρειν Cθ. – εἰσφέρειν D (H, al. manu προσφέρειν) IJKL, Lind. — [8] ἰᾶσθαι θ. – καταπλάσσειν καὶ (καὶ om. CDFGHIJKθ)

fant était dedans. Traitée, la femme expulse promptement le chorion putréfié, et elle guérit.

49. (*Ulcérations de l'utérus après l'accouchement; remèdes.*) Si, à la suite de l'accouchement, la matrice s'ulcère, on traitera avec la fleur de rosier; la femme fera aussi des injections astringentes (De la Nat. de la F., § 84). Si l'orifice s'ulcère et s'enflamme, prendre de la myrrhe, de la graisse d'oie, de la cire blanche, de l'encens, du poil de lièvre de dessous le ventre, mêler le tout, broyer et appliquer en pessaire dans de la laine (De la Nat. de la F., § 55).

50. (*Phlegmasie utérine après l'accouchement. Traitement.*) Si la matrice s'enflamme à la suite de l'accouchement, il y a fièvre légère et obscurité de la vue; au ventre jamais la chaleur ne cesse; la femme a soif; douleur aux hanches; la région hypogastrique est fortement gonflée, et le ventre se dérange. Les selles sont mauvaises et fétides; la fièvre est intense; anorexie; douleur au bregma; l'orifice de l'estomac ne peut attirer les boissons et les aliments; et la digestion ne se fait pas. Si le traitement n'intervient pas aussitôt, la plupart succombent, et c'est par le ventre. Prendre des feuilles très-tendres de sureau et de la grosse farine de blé de trois mois, faire cuire et donner à boire tiède (De la Nat. de la F., § 57). Donner aussi de l'hydromel et du vin aqueux, appliquer des cataplasmes refroidissants sur le bas-ventre, manger aussi peu que possible, arrêter le flux de ventre, traiter la tête, mettre des cataplasmes sur l'hypocondre.

51. (*Différents moyens pour les souffrances de l'utérus après l'accouchement.*) Boisson pour la matrice : quand il y a douleur après l'accouchement, si la douleur se fait sentir au siége ou autre part, broyer la baie de l'arkeuthos (*juniperus phœnicea*), ou la graine de lin et d'ortie, et donner à boire. S'il y a

τῶν (τῶν om. CHIKθ) μ. τόπον (ποτον sic θ) (καὶ τ. μ. τ. om. Ald.) vulg. — [9] ἦν ἀλγέη (ἀλυγέη sic C) ἐκ τόκου CFGIJKθ. – ἦν.... τόκου om. vulg. – ὅταν θ. – ἀλλ' ὅτι θ. – λινουσπέρμου (sic) C. – λινούσπερμα θ. – κνιδέης C. – πινέτω pro διδ. π. Cθ. — [10] ἐκ τόκου ἦν θ. – τερμινθίνην θ. – χλιαρὸν vulg. – χλιερὸν Cθ. – χλ.... ἀλγέη om. J. – ῥύφειν (sic) θ.

καὶ οἶνον χλιερὸν διδόναι ῥοφέειν, καὶ ἢν φλεγμήνωσιν αἱ μῆτραι, τοῦτο παύσει. Ἢν [1] δὲ ἀλγέῃ τῶν μητρέων τόπον, ἀμυγδαλῆς τρίψας πικρῆς καὶ ἐλαίης τὰ ἁπαλὰ φύλλα, [2] καὶ κύμινον καὶ δάφνης καρπὸν ἢ τὰ φύλλα, καὶ ἄννησον καὶ ἐρύσιμον καὶ ὀρίγανον καὶ νίτρον, ταῦτα μίξας καὶ τρίψας λεῖα, κολλούρια ποιέειν μητρέων. [3] Ἢν φλεγμήνωσι καὶ ὀδύνη ἔχῃ, ῥόδων φύλλα, κινάμωμον, κασσίην τρίψας ἐν τῷ αὐτῷ λεῖα, ἐπιχέειν νέτωπον, καὶ ποιήσας φθοΐσκους ὅσον δραχμιαίους, ὀστράκινον κυθρίδιον καινὸν διάπυρον ποιήσας, περικαθίσας, καὶ περιστείλας ἱματίοισι, θυμιῆν ἐς τὰς μήτρας· τοῦτο ὀδύνας παύσει.

52. Ἢν [4] δὲ ἐκ τόκου αἱ ὑστέραι πονήσωσι, βληχρὸν ἔχει τὸ πῦρ, ἔνδοθεν δὲ ἡ κοιλίη ἡ νειαίρη πυριφλεγέθης ἐστὶ, καὶ ἐς τὸ ἰσχίον ἐνίοτε ἀποιδέει, καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα καὶ τοὺς κενεῶνας, καὶ τὰ ὑποχωρεῦντα χολώδεα καὶ κάκοδμα· καὶ ἢν [5] μὴ σταθῇ ἡ κοιλίη, ἐξαίφνης θνήσκει. Ὅταν οὖν ὧδε ἔχῃ, χρὴ ψύχειν τὴν κοιλίην, φυλασσόμενον ὅκως μὴ φρίξῃ· πινέτω [6] δὲ, ἢν μὴ ἵστηται, τὸ ἀπὸ τοῦ κρίμνου ἢ ἄρτου, ἢ ἄλητον· ῥοφέειν δὲ, σίδης οἰνώδεος τὸν χυλὸν κεράσας ὕδατι, ἐπίπασσε λέκιθον φακῶν καὶ τοῦτο ἕψει, [7] μίσγων φακὸν καὶ κύμινον καὶ ἅλας καὶ ἔλαιον καὶ ὄξος, τοῦτο διδόναι ῥόφημα ψυχρὸν, καὶ φακῆν ὀξέην, καὶ ἐπιπίνειν

[1] Δὲ μὴ (μηδὲ pro δὲ μὴ L) (μὴ δὲ pro μὴ CHK; μὴ om. θ) ἀλ. τι (τι om. C) τῶν μ., ποτὸν (τόπον Cordæus; τόπων Foes in not., Lind.) vulg. – ἀμυγδάλας vulg. – ἀμυγδαλῆς D. – ἀμυγδαλᾶς H. – ἀμυγδαλὰς K. – ἀμυγδάλης J. – ἀμύγδαλα C. – πικρὰς vulg. – πικρῆς D. – πικρᾶς CHIJθ. – καὶ ἐλαίης τὰ θ. – ἐλαίης τε (τε om. C) τὰ vulg. – ἀπαλλὰ F. — [2] καὶ κύμινον καὶ δάφνης καρπὸν ἢ τὰ φύλλα Cθ. – καὶ.... φύλλα om. vulg. – ἄνισον CDHJ. – ἄνησον K. – λίτρον μίξας ταῦτα πάντα λία θ. – κολλύρια Cθ. – κολ. π. μ. om. L. – κολλ.... λεῖα om. (D, restit. al. manu) FGHIJK. — [3] ἢν δὲ Lind. – καὶ κινν. θ. – κινν. CD. – κυνάμ. Ald. – καὶ (καὶ om. C) κασσ. (κασίην C) vulg. – λία θ. – ἔπιχεῖ vulg. – ἐπιχεῖν FGHILθ, Lind. – ἐπιχέειν C. – νέτωπον, in marg. ἀντὶ τοῦ ἀμυγδάλινον θ. – φθοϊκοὺς C. – τροχίσκους DQ'. – κυθρίδιον θ. – χυτρίδιον vulg. – κενὸν C. – περικαθίζειν Cθ. – περιστίλας θ. – ἱματίοις Cθ. – θυμιεῖσθαι C. – θυμιᾶσαι θ. – εἰς C. – παύει θ. — [4] δ' θ. – νιαιρα (sic) θ. – νειαιρὴ Lind. – νειέρη FK, Ald., Frob., Cordæus. – νειερὴ GI. – εἰς D. – ἀπιδέει C. – καὶ ἡ ὀδ. D. – ἔχει HK. – νιαραν (sic) θ. – νειαρὴν Lind. – νειέρην FGIK, Ald., Frob., Cordæus. – καὶ ἐς (ἐς om. θ.) τοὺς vulg. – ὑποχωροῦντα vulg. – ὑποχωρεῦντα C. – ὑποχωρέοντα θ. — [5] μὴ om. Cθ. – θνησκέτω τᾶνω δὲ ἔχει ψύχειν τὴν C. – οὖν om. θ. – ἔχει H. – χρὴ om. θ. – ὅπως θ. – φρύξῃ D. — [6] δὲ om. C. – κρίμνου (κριμνοῦ θ; κριθμοῦ CD; κρηθμνοῦ FGHIJK, Ald.; κρηθμοῦ L, Vatic. Codd. ap. Foes in not.) (addunt ἢ

douleur après l'accouchement, donner à prendre de la térébenthine, du miel, et du vin tiède; et, si la matrice s'enflamme, cela l'empêchera. Si la région de la matrice est douloureuse, piler les feuilles tendres de l'amandier amer et de l'olivier, le cumin, les baies ou les feuilles de laurier, l'anis, l'erysimon (*sisymbrium polyceratium*, L.), l'origan, le nitre, mêler, piler fin, et en faire une injection pour la matrice. S'il y a inflammation et douleur de matrice, prendre feuilles de rose, cinnamome, cassia, piler fin ensemble, verser du nétopon, et faire des pastilles du poids d'une drachme, puis, ayant chauffé jusqu'au rouge un vase neuf en terre, faire asseoir la femme par dessus, la recouvrir de vêtements, et faire une fumigation vers la matrice; cela calmera les douleurs.

52. (*Souffrances de l'utérus après l'accouchement, avec fièvre. Traitement.*) Si la matrice souffre après l'accouchement, il y a une fièvre faible, mais à l'intérieur le bas-ventre est brûlant, et parfois du gonflement se manifeste à la hanche; de la douleur se fait sentir au bas-ventre et aux flancs; les déjections sont bilieuses et fétides; et, si le flux de ventre n'est pas arrêté, la femme meurt soudainement. Quand il en est ainsi, il faut refroidir le ventre tout en évitant de causer du frisson. Si la diarrhée ne s'arrête pas, elle boira la préparation au gruau, ou la préparation au pain, ou la farine; pour potage, elle prendra le jus d'une grenade vineuse, le coupera d'eau, le saupoudrera de farine de lentilles, et fera cuire, mêlant des lentilles, du cumin, du sel, de l'huile et du vinaigre; ce potage sera donné froid ainsi que la bouillie acide de len-

καὶ ἀπὸ τοῦ κρημνοῦ FGHI, J ἢ καὶ τὸ ἀπὸ τοῦ κρίμνου, K κριθμοῦ, LQ' sine καί)· τρωγέτω (ἢ pro τρ. Cθ; addit δὲ post τρ. Lind.) ἄρτον (ἄρτου HIJθ, Ald.; ἄρτον om. L, Lind.) (addit ἢ θ) ἄλητον vulg. – ῥοφεῖν θ. – ἐπίπασσε δὲ (δὲ om. C) λεκίθῳ (λεκίθους Lind.; λεκίθου J; λέκιθον CHθ; λεκίνθω sic FGIK) φακὸν (ῷῶν Lind.; φακῷ C; φακῶν θ, Cornar.) καὶ (καὶ om. Cθ) τούτῳ (τοῦτο CFHJKLθ, Lind.) ἕψει (ἕψειν C; ἑψεῖν θ) vulg. — [7] καὶ μίσγειν C (θ, μίσγων). – ἅλα Cθ. – ἔλλιον (sic) θ. – φακὴν vulg. – φακῆν K. – ὀξείην vulg. – ὀξέην θ. – ὀξεῖαν C. – ἐπιπίνων vulg. – ἐπιπίνειν CFG, Cordæus, Lind. – ἐπὶ πίνειν Dθ. – εὐώδεα Cθ. – Ante πρ. addit μέλανα θ. – δ' C. – ἢ ὁ πυρετὸς pro ὁ π. λυθῇ Cθ.

οἶνον οἰνώδεα πράμνιον· τῶν δὲ ἄλλων σιτίων ἀπέχεσθαι χρὴ ἔστ' ἂν ὁ πυρετὸς λυθῇ· ἢν [1]δὲ δοκέῃ, καὶ λούεσθω· ἢν δὲ ἀσθενὴς ᾖ, πίνειν πάλην ἀλφίτων· ἢν [2]δὲ ἀκιδνοτέρη ᾖ, ἐν ὕδατι ψυχρῷ· σιτίον [3]δὲ προσφέρεσθαι κοῦφον, ὅ τι μὴ ἰνήσεται, ὅταν τὸ πῦρ μεθῇ. Ἡ δὲ νοῦσος ὀξέη τε καὶ θανατώδης.

53. Ἢν [4]δὲ φλεγμήνωσιν αἱ ὑστέραι λεχοῖ, πίμπραται ἡ κοιλίη καὶ μεγάλη γίνεται, καὶ πρὸς τὰ ὑποχόνδρια πνὶξ ἔχει. Ὅταν ὧδε ἔχῃ, καταπλάσσειν βρύῳ τῷ θαλασσίῳ, ὃ ἐπὶ τοὺς ἰχθύας ἐπιβάλλουσι, κόψαι δὲ ἐν [5]ὅλμῳ· καὶ ξυμμίσγειν ὠμήλυσιν καὶ σποδιὴν κληματίνην καὶ λίνον φώξαντα, [6]ἀλεῖν δὲ ταῦτα καὶ ἀναφορύξαι ὄξει καὶ ἐλαίῳ, ποιέειν δὲ οἷον κυκεῶνα παχύν· ταῦτα ἑψεῖν [7]ἕως οἷον στέαρ γένηται, καὶ τούτῳ καταπλάσσειν ὡς θερμοτάτῳ, καὶ, ἢν χρήζῃ, ἐγκαθιννύσθω.

54. Ἢν [8]δὲ λεχοῖ φλεγμήνωσιν αἱ ὑστέραι, οἰδέουσι, καὶ ὁκόταν τὰ λοχεῖα ἐμμείνῃ, κρύβδην τείνονται, [9]γίνεται δὲ ἐπὴν πυκνωθέωσιν ὑπὸ ψύχεος. Ταύτῃσιν ἢν μὲν [10]ἐπιψύχωνται, ἀλεαίνειν· ἢν δὲ πυριφλεγέες ἔωσιν καὶ τὸ ψῦχος ἀφῇ, προσθετὸν ποιέειν ὅ τι φλεγμασίῃ ἐναντιοῦται, καὶ λούειν, καὶ πυριῆν, καὶ φάρμακα προσάγειν, ὧν ἂν ἐγὼ γράψω, ἕλκειν τε ἀτμίδα ἐς τὸ στόμα καὶ ἐς τὰς ῥῖνας.

[1] Δὲ om. C. – καὶ λ. om. C. – λούσθω θ. – ἢν δὲ ἀσθενῶς ἔχῃ, πίνειν δίδου τὰ ἄλφιτα (πάλην ἀλφίτων Vatic. Codd. ap. Foes in not.) vulg. – ἢ δὲ ἀσθενὴς ᾖ (ἢν δ' ἀσθενήσῃ θ) πίνειν πάλιν ἀλφίτων Cθ. — [2] δ' θ. – ἀκυδν. vulg. – ἀκιδν. CDFHKθ, Cordæus, Lind. – σιτῖον F. – σῖτα C. — [3] δὲ om. C. – προσφερέσθω Cordæus, Lind. – κοῦφα C. – εἰνήσεται vulg. – εἰρήσεται JL. – σινήσεται C. – εἰρύσεται Codd. Regg. ap. Foes in not. – ἠνήσεται θ. – ἰνήσεται Cordæus, Lind. – ὀξείη vulg. – ὀξέη θ. – τε om. C. — [4] δὲ om. Cθ. – λέχοι CFGHIJK, Ald. – λέχους D. – πίμπλαται vulg. – πίμπραται Dθ, Cordæus, Lind. — [5] ὀλ. CFI. – συμ. θ. – ξυμμίγειν C. – ὠμήλυσι θ. – ὠμιλίσι J. – ὠμολίσι H. – ὠμιλίσιν FIK. – σποδίην GHIK, Ald., Frob. – λῖνον CK. – φόξαντα FGH. – φώσαντα θ. — [6] βαλεῖν vulg. – ἀλειν (sic) θ. – οἴνῳ pro ὀξ. καὶ ἐλ. J. – ποιέειν θ. – πιεῖν G, Ald. – ποιεῖν vulg. – οἶνον pro οἷον DK. – ἕψειν C. — [7] ὡς vulg. – ἕως θ. – γενέσθαι vulg. – γένηται Cθ. – καὶ om. Cθ. – θερμότατον DHK. – χρίζῃ θ. – χρήζει F. – χρήζοι D. – Post χρ. addit καὶ C. – ἐγκαθιγνῦσθαι vulg. – ἐγκαθίζεσθαι Lind. – ἐγκαθινῦσθαι (D, al. manu ἐγκαθιγνῦσθαι) FHIJ. – ἐγκαθινύσθαι K. – ἐγκαθίννυσθαι C. – ἐγκαθιννύσθω θ. — [8] δὲ om. Cθ. – λέχῃ K. – δέχοι (sic) θ. – λέχοι CDFGHIJ, Ald. – ὅταν Cθ. – λόχια CD. – λοχία J. – ἐμμένῃ C. – γίνονται pro τείνονται θ. — [9] γίνονται (γίγν. C) vulg. – γίνεται Cordæus, Lind. – Bonne correction. – ἦν C. – πυκνωθέωσιν Cθ. –.

tilles ; elle boira par-dessus du vin fort de Pramne ; quant aux autres aliments, elle s'en abstiendra jusqu'à ce que la fièvre ait cessé. Si on le juge convenable, elle pourra se baigner. Est-elle faible, qu'elle boive de la fine fleur de la farine d'orge ; sa faiblesse est-elle encore plus grande, elle la boira dans l'eau froide. Elle prendra, quand la fièvre sera tombée, des aliments légers qui ne dérangent pas le ventre. Cette maladie est aiguë et très-grave.

53. (*Phlegmasie utérine chez une nouvelle accouchée. Traitement.*) Si la matrice s'enflamme chez une nouvelle accouchée, le ventre s'échauffe et devient gros ; de l'oppression se fait sentir aux hypocondres. Quand il en est ainsi, appliquez des cataplasmes avec la mousse marine qu'on jette sur les poissons ; cette mousse aura été pilée dans un mortier ; on y mêlera de la grosse farine de grain non grillé, de la cendre de sarment et de la graine de lin grillée ; on moudra tout cela, on pétrira avec du vinaigre et de l'huile, et on fera comme un cycéon épais ; on cuira jusqu'à ce que la préparation prenne la consistance de la graisse, et on l'appliquera en cataplasme aussi chaude que possible. S'il le faut, on prescrira des bains de siége.

54. (*Autre cas de phlegmasie utérine chez une nouvelle accouchée. Traitement.*) Si l'utérus s'enflamme chez une femme en couche, il se tuméfie ; et, les lochies séjournant, il se distend secrètement. Cela arrive quand il a été condensé par le froid. Dans ce cas, s'il est refroidi, il faut le réchauffer ; s'il est brûlant et que le froid cesse, faire un pessaire qui s'oppose à l'inflammation, laver, fumiger et administrer les médicaments que j'écrirai ; aspirer de la vapeur dans la bouche et dans les narines.

πυκνωθῶσιν vulg. – ἀποψύχεσθαι pro ὑπὸ ψύχεος θ. — [10] ἀποψύχωνται θ. – περιφλιγέες vulg. – πυριφλεγέες Cθ. – ἐῶσιν FGIKθ, Ald., Frob. – ἅπτη pro ἀφῇ θ. – προσθετὰ DGHJK. – πρόσθετα C. – ἃ pro ὅ τι θ. – ἐναντιεῦται C. – λούειν ἅμα (ἅμα om. CDHKθ ; πυκνὸν erasum al. manu pro ἅμα I) vulg. – πιεῖν pro πυριῆν DK (FJ, πίνειν). – πυρίην C. – πυριᾶν θ.

55. Ἢν δὲ πνίγωσι, φακοὺς [1] ἑψεῖν ἐν ὄξει καὶ ἁλὶ καὶ ὀριγάνῳ πολλῷ, καὶ ὁλκὴν ποιέεσθαι, καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ ἐν τῷ χυλῷ λεπτὸν ἄλητον ῥοφεέτω.

56. [2] Ὅταν δὲ τάχιστα τέκῃ, πρὶν τὴν ὀδύνην ἔχειν, πρότερον διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης, καὶ σιτία διαχωρητικὰ προσφερέσθω. [3] Ἢν δὲ ἡ γαστὴρ θερμαίνηται, ὑποκλύζειν ὅτι τάχος.

57. Ἢν [4] αἱ μῆτραι φλέγματος ἐμπλησθέωσι, φῦσαι ἐγγίνονται ἐν τῇσιν ὑστέρῃσι, καὶ τὰ ἐπιμήνια προέρχεται ἐλάσσονα, λευκά, φλεγματώδεα· ἔστι δ' ὅτε [5] αἷμα λεπτόν, ἀκραιφνές, ὑμένων ἀνάπλεον, καὶ ἔστιν ᾗσιν κυρκανᾶται, καὶ τρὶς τοῦ μηνὸς ἐπιφαίνεται, καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, [6] οὐδ' ὀργᾷ τοῦτο δρᾶν, καὶ λεπτὴ γίνεται· ὀδυνῆται δὲ τὴν νειαίρην γαστέρα [7] καὶ τὰς ἰξύας καὶ τοὺς βουβῶνας· καὶ εἰ δάκνοι τὸ ῥέον καὶ ἑλκοῖ τὰ ἀμφίδεα, [8] χρόνιον φάναι τὸ ῥεῦμα. Καὶ ἢν πολὺ ἴῃ, φάκιον ξὺν ἐλλεβόρῳ δοῦναι ἐμέσαι· ἔπειτα ἐς τὰς ῥῖνας ἐγχέαι, καὶ φάρμακον πῖσαι κάτω· σιτίων δὲ εἰργέσθω δριμέων· ἢν δὲ βαρύνηται καὶ [9] ψύχηται καὶ νάρκη ἔχῃ, γάλα διδόναι καὶ οἶνον εὐώδεα· πινέτω δὲ νῆστις ὑπερικόν, [10] λίνου σπέρμα, ἐλελίσφακον ἐν οἴνῳ εὐώδει ὑδαρεῖ· καὶ κλύσαι τὰς ὑστέρας τῷ ξὺν τῇ τρυγί· καὶ ἢν [11] μὴ ἡλκωμέναι

[1] Ἕψειν C. – ἁλικὰ pro ἁλὶ καὶ C. – ἁλικὰ pro ἁλὶ θ. – ὁλκὴν Ald. – λινοζώστιν (sic) F. – λινόζωστιν DH. – λινοζῶστιν vulg. – ἐσθιέσθω (sic) I, Frob. – ῥοφέειν C. – ῥύφειν (sic) θ. — [2] ὅτ' ἂν (ὅτι DQ', Lind.) (addit δὲ θ) τάχιστά τε (τε om. D; δὲ pro τε Lind.) καὶ (τέκῃ pro τε καὶ θ) πρὶν vulg. – ἔχῃ C. – παύσει C. – προσφέρεσθαι DJ. — [3] καὶ (καὶ om. Cθ) ἢν (addit δὲ θ) ἡ (ἡ om. C) γ. φλεγμαίνηται (φλεγμήνηται DH; θερμαίνηται θ, Vatic. Codd. ap. Foes in not.) vulg. — [4] δ' αἱ Jθ. – ἐμπλησθῶσι vulg. – ἐμπλησθέωσι C. – φύσα ἐνγίνεται θ. – ἐλάσσω J. — [5] φλέγμα C. – καὶ ἀκρ. D. – ἀκρεφνὲς F. – ἀνάπλεων CDFGIJK. – ἀνακυρκανᾶται θ. – κιρνᾶται DHK. – Erot., p. 230 : κυρκανᾶται, ταράττεται. – τρεῖς D. — [6] καὶ pro οὐδ' θ. – ὀδυνᾶται Jθ. – νιαιραν (sic) θ. – νειαιρῆν Lind. – νειέρην FGIK, Ald., Frob. — [7] καὶ Cθ, Lind. – καὶ om. vulg. – οἱ pro εἰ J. – δάκνοιτο ῥέον HIK (θ, ῥαίον sic). – δάκνει C. – ἕλκοι vulg. – ἕλκοιτο pro ἑ. τὰ H. – ἑλκοῖ Lind. – τὸ pro τὰ CDGθ. – ἀμφιδήιον (sic) θ. – ἀμφιλήϊμα (D, al. manu ἀμφίδεα) FG (H, al. manu ἀμφιλήϊμον) IJKL, Vatic. Cod. ap. Foes, Ald. – ἀμφιλήϊον C. – Erot., p. 100 : ἀμφίδιον, τὸ πέριξ τοῦ τῆς μήτρας τραχήλου. Gal. Gl. : ἀμφίδεον, τοῦ στόματος τῆς μήτρας τὸ ἐν κύκλῳ ἄκρον, ὅπερ καὶ σικύας χείλεσιν ἔοικε, κατὰ μεταφορὰν ἀπὸ τῶν γυναικείων ψελλίων ὠνομασμένον, ἃ καὶ αὐτὰ ἀμφίδεα καλοῦνται ἀπὸ τοῦ περιλαμβάνειν ἐν κύκλῳ καὶ οἷον ἀμφιδεῖν. Rufus, de Part. Hum.

55. (*Remède pour la suffocation causée par l'utérus.*) Si la matrice cause de la suffocation, cuire des lentilles dans du vinaigre, du sel et beaucoup d'origan, et en aspirer la vapeur; manger de la mercuriale; faire un potage avec l'eau où elle a bouilli et un peu de farine.

56. (*Conseils quand l'accouchement se fait trop promptement.*) Quand l'accouchement se fait très-promptement, donner, avant que la douleur survienne, les médicaments qui calment les douleurs utérines, et administrer des aliments qui lâchent le ventre. Si le ventre s'échauffe, administrer des lavements le plus tôt possible.

57. (*Matrice remplie de phlegme; règles pituiteuses; divers accidents. Traitement.*) Si la matrice se remplit de phlegme, des vents s'y développent et les règles coulent moindres, blanches, pituiteuses; parfois c'est un sang ténu, pur, plein de membranes. Parfois encore il y a dérangement, elles paraissent trois fois par mois; à cause de l'humidité la femme ne veut pas avoir de rapports avec son mari, et elle n'a aucun désir; elle maigrit. Elle souffre au bas-ventre, aux lombes et aux aines. Si le flux irrite et ulcère les lèvres de l'orifice utérin, dites qu'il sera de longue durée. Est-il abondant, faire vomir avec la bouillie de lentilles et l'ellébore; puis faire une infusion dans le nez, et administrer un purgatif. Elle s'abstiendra des aliments âcres. Si elle sent des pesanteurs, du froid et de l'engourdissement, donner du lait et du vin de bonne odeur; boire à jeun de l'hypéricon, de la graine de lin, de la sauge dans du vin aqueux de bonne odeur; faire des injections utérines avec la préparation à la lie; et, si la matrice n'est pas ulcérée, suspendre deux jours ou trois, puis administrer l'injec-

Corp. apellat., I, 31 : ἀμφίδιον. —[8] χρ. φ. τὸ ῥ. om. DFG (H, restit. al. manu) IK. – φᾶναι θ. – ἣν μὴ (μὴ om. θ) π. εἴη (ἴη θ) vulg. – φάμιον, al. manu κι D. – σὺν θ. – ἐλεβ. C. – πεῖσαι C. —[9] ψήγηται C. – ναρκὰ (sic) C. – ναρκα (sic) θ. —[10] σελίνου Lind. – λινούσπερμα' θ. – Ante ὑδ. addit καὶ J. – ὕδαρι (sic) C. – σὺν θ. – τρύγει (sic) Cθ. —[11] μὴ θ, Lind. – μὴ om. vulg. – ἑλκωμέναι vulg. – ἐλκομέναι (sic) K. – ἡλκωμέναι C, Cordæus, Lind. – εἰλκωμέναι θ. – ἐῶσι θ. – διαλείποντα θ. – τρὶς Gθ, Ald.

ἔωσι, διαλιπόντα ἡμέρας δύο ἢ τρεῖς, [1]κλύσαι τῷ ξὺν τῷ κόκκῳ· μετὰ δὲ τοῦτο, στρυφνοῖσιν· ἢν δὲ ἡλκωμέναι ἔωσι, νίπτεσθαι τῷ ἀπὸ τῆς μυρσίνης καὶ δάφνης ἀφεψήματι, καὶ ἐγχριέσθω τῷ [2]ξὺν τῷ ἀργυρέῳ ἄνθει. Ἡ δὲ νοῦσος χαλεπὴ, καὶ ὀλίγαι ἐκφεύγουσιν.

58. Ἢν [3]δὲ αἱ κοτυληδόνες φλέγματος περίπλεαι ἔωσι, τὰ ἐπιμήνια γίνονται ἐλάσσονα, καὶ [4]ἢν ἐν γαστρὶ ἴσχῃ, διαφθείρει, ἐπειδὰν ἰσχυρότερον τὸ ἔμβρυον γένηται· οὐ γὰρ ῥώννυται, ἀλλ' ἀποῤῥεῖ. Γνοίης δ' ἂν [5]τῷδε· ὑγρὴ γίνεται, καὶ τὸ ἀποῤῥέον μυξῶδες καὶ γλίσχρον οἷα ἀπὸ κοιλίης φέρεται, καὶ οὐ δάκνει, καὶ ἐν τοῖσιν ἐπιμηνίοισιν, ἐπὴν παύσηται τοῦ αἵματος καθαιρομένη, καὶ δύο [6]ἡμέρας καὶ τρεῖς βλένναι ἴασιν ἐκ τῶν ὑστερέων, καὶ φρίκη ἔχει, καὶ θέρμη οὐκ ὀξέη, πλὴν οὐκ ἐκλείπει. Ταύτην κλύσαι [7]τῷ ἀπὸ τῶν ὀλύνθων καὶ ὑφ' ὧν ὕδωρ καθαίρεται, καὶ δὶς καὶ τρίς· ἐπὴν δὲ [8]καθαρθῇ, στρυφνοῖσι τὸ λοιπὸν χρήσθω· προστιθέναι δὲ τὰ μαλθακὰ, ὑφ' ὧν καθαίρεται φλέγμα, καὶ πυριῆν τὰς ὑστέρας [9]τῷ ξὺν τῇ δάφνῃ, καὶ κλύζειν τῷ [10]ξὺν τῷ ὄξει, καὶ θυμιῆν, ἐπὴν παύσηται τὰ ἐπιμήνια, τοῖσιν ἀρώμασι· κἄπειτ' ἀσιτέειν χρὴ, καὶ ἀλουτέειν, ξυνίτω δὲ τῷ ἀνδρὶ, καὶ σιτία καὶ οἶνον ὀλίγα λαμβάνειν, καὶ ἀλεαίνειν, [11]καὶ ῥήνικας ἀμφὶ τὰ σκέλεα ἑλίσσειν, καὶ ἐλαίῳ ἀλείφειν.

59. Ἢν [12]δὲ ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, τὰ ἐπιμήνια ἐλάσσονα καὶ πονηρὰ [13]γίνεται καὶ προαπολείπει, καὶ ἡ νειαίρη γαστὴρ οἰδέει, καὶ οἱ μαζοὶ στεῤῥοὶ, οὐ μαλθακοὶ, [14]καὶ τὸ γάλα

[1] Κλύσαι τρὶς (τρεῖς D) (κλυσαίτω pro κλ. τρὶς θ; κλ. τρὶς om. C) ξὺν (σὺν θ) vulg. – Lisez dans θ κλύσαι τῷ. – τόκῳ pro κόκκῳ D. – εἱλκωμέναι θ. – ἑλκωμέναι vulg. – ἡλκωμέναι FHIJK, Cordæus, Lind. – ἑλκεωμέναι (sic) C. – ἐῶσιν ἵπτεσθαι θ. – νύπτεσθαι C. — [2] σὺν θ. — [3] δὲ sine αἱ vulg. – δ' αἱ θ. – δὲ αἱ Gal. in cit. comm. Aph. V, 45. – περίπλεες Gal. ib. – ἐῶσι θ. – ὦσι C. — [4] ἢν om. θ. – ἴσχει θ. – Post διαφθ. addit δὲ θ. – ἐπὴν Cθ. – γίνηται J. – ἀλλὰ C. – ὑπορρεῖ θ. — [5] τόδε DH. – καθαιρομένης θ. — [6] ἡμέραι FK, Ald. – τρὶς θ. – βλέναι K. – ὑστέρων θ. – ὀξεῖα vulg. – ὀξείη DH. – ὀξέη θ. – καὶ pro πλὴν Hθ. – ἐκλίπει (sic) C. – κλυζέτω DJ. – κλύτω FGHIK, Ald. — [7] τῷ θ, Vatic. Codd. ap. Foes in not., Lind. – τῷ om. vulg. – ἀπὸ τῶν ὀλ. om. (D, restit. al. manu) FGHIJK. – ὀλόνθων Cθ. – καὶ Cθ. – καὶ om. vulg. – ἀφ' vulg. – ὑφ' Cθ. – ὕδωρ ἅπαν (ἅπαν om. Cθ) vulg. — [8] καθήρῃς θ. – χρ. om. Cθ. – πυρίῃ C. – πυριὰν θ. — [9] τῷ om. G. – σὺν θ. — [10] σὺν θ. – θυμιᾶν θ. – τοῖς θ. – τῇσιν J. – ἀρωστήμασι (sic) G. – κἄπιτα θ. – ἀλουτείτω Cθ. – Post ἀλ. addit δὲ θ. – καὶ συνευδέτω τῷ θ. – ὀλίγον C. — [11] καὶ om. C. – ῥηνεικας (sic) θ. – εἰρηνικὰς vulg. – εἰρινικὰς Cordæus. – ἀρνακίδας Lind. – Gal. Gl. : ῥήνικας,

tion avec la baie du daphné gnidium, puis avec les astringents. S'il y a ulcération, laver avec la décoction de myrte et de laurier, et oindre avec la préparation à la fleur d'argent (*oxyde de plomb*). La maladie est fâcheuse, et peu réchappent.

58. (*Autre cas d'affection utérine attribuée à la pituite.*) Si les cotylédons sont remplis de pituite, les règles sont moins abondantes; la femme devient-elle grosse, elle avorte, quand le fœtus a pris quelque force; car il ne se développe pas, mais s'écoule. Vous vous en apercevrez ainsi : la femme devient humide; ce qui s'écoule est muqueux et gluant comme la matière du flux de ventre, et n'a rien d'irritant; lors des règles, quand le sang cesse d'être évacué, des mucosités s'échappent de la matrice pendant un jour ou deux; il y a frisson, chaleur non aiguë, mais qui n'a point de rémission. En ce cas, administrer le lavement avec l'eau de figues non mûres et avec ce qui évacue l'eau, et l'administrer et deux et trois fois; après cette purgation, user, pour le reste, d'astringents; appliquer en pessaire les émollients qui évacuent la pituite; fumiger l'utérus avec la préparation de laurier; injecter la préparation au vinaigre; quand les règles ont cessé, faire une fumigation avec les aromates. Puis la femme s'abstiendra d'aliments et de bains et s'unira avec son mari. Prendre en petite quantité les aliments et le vin, se tenir chaude, s'envelopper les membres inférieurs avec la peau de mouton, et faire des onctions huileuses.

59. (*Hydropisie de matrice. Traitement.*) Si une hydropisie (De la Nat. de la F., § 2) se forme dans la matrice, les règles deviennent moindres, mauvaises et s'arrêtent avant le temps;

ἀρνακίδας. – ἐλίσσ. K. — [12] δὲ om. C. – γένηται θ. — [13] γίνονται θ. – πρόσα (sic) ἀπολείπει pro προαπ. θ. – νιαιρα θ. – νειαιρὴ Lind. – νειέρη FGIK, Ald. – ἐπανοιδέει Cθ. – καὶ οἱ μαζοὶ (μ. om. θ) στ. (στεροὶ C) καὶ (καὶ om. C, restit. al. manu, FHIJ; γίνονται pro καὶ Lind.) μαλθακοὶ (καὶ μ. om. θ) vulg. – De la Nature de la femme, § 2 : καὶ οἱ μαζοὶ ξηροὶ γίνονται, sans μαλθακοί. Je pense donc qu'il faut lire ici : στεῤῥοί, οὐ μαλθακοί. — [14] καὶ τἄλλα πονηρῶς ἔχει pro κ. τ. γ. π. Cordæus. – C'est la leçon du livre de la Nat. de la femme.

πονηρὸν, καὶ δοκέει ἐν γαστρὶ ἔχειν, καὶ [1] ἐν τούτοισι γνώσῃ ὅτι ὕδερός ἐστι· σημαίνει δὲ καὶ ἐν τῷ στόματι [2] τῇσιν ὑστέρῃσι, ψαυούσῃ γὰρ ἰσχνὸν καὶ ὑγρὸν φαίνεται· καὶ ῥῖγος καὶ πῦρ λαμβάνει. Ὅσῳ δ' ἂν ὁ χρόνος πλείων γίνηται, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ [3] τοὺς κενεῶνας καὶ τοὺς βουβῶνας. Αὕτη ἡ νοῦσος ἐκ τρωσμοῦ γίνεται, καὶ ἐξ ἄλλων δὲ προφασίων, καὶ ὅταν τὰ ἐπιμήνια κρυφθῇ. Λούειν χρὴ πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ἢν ἡ ὀδύνη ἔχῃ· ἐπὴν δὲ παύσηται, φάρμακον χρὴ πῖσαι κάτω, καὶ πυριῆσαι τῷ [4] ξὺν τῷ βολίτῳ τὰς ὑστέρας· ἔπειτα προσθεῖναι [5] τὸ ξὺν τῇ κανθαρίδι, καὶ διαλείπειν δύο ἡμέρας ἢ τρεῖς· καὶ ἢν ῥώμη ἴσχῃ, νετώπῳ κλύσαι· καὶ ἢν [6] ἡ γαστὴρ λαπαρὴ γένηται, καὶ οἱ πυρετοὶ παύωνται καὶ τὰ [7] καταμήνια προχωρέῃ κατὰ λόγον, τῷ ἀνδρὶ ξυγκοιμάσθω, καὶ ἐν τοῖσι προσθέτοισι μενέτω, καὶ μεσηγὺς ἡμέρης πινέτω κρήθμου φλοιὸν, γλυκυσίδης τοὺς μέλανας κόκκους πέντε, ἀκτῆς καρπὸν ἐν οἴνῳ νῆστις· καὶ τὴν λινόζωστιν ἐσθιέτω ὡς πλείστην, καὶ σκόροδα ὠμὰ καὶ ἑφθὰ, καὶ τοῖσι μαλθακοῖσι [8] πρὸς ὕπνον χρήσθω, καὶ πουλύποσι, καὶ τοῖσιν ἄλλοισι [9] μαλθακοῖσι, θαλασσίοισι μᾶλλον ἢ κρέασι· καὶ ἢν τέκῃ, ὑγιαίνει.

60. Ἢν [10] ὕδρωψ γένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται καὶ κακίω καὶ διὰ πλέονος χρόνου· [11] καὶ κύει δίμηνον ἢ μικρῷ πλέον· καὶ οἰδέει [12] ἡ κοιλίη, καὶ τὸ ἐπικτένιον, καὶ αἱ κνῆμαι,

[1] Ἐν om. θ. – τούτοις J. — [2] τοῖσιν θ. – ψαύουσι C. – καὶ ὑγρὸν om. θ. – πλείω vulg. – πλείων Jθ, Cordæus, Lind. – γένηται L, Lind. – ἔχῃ C. – νιαιραν θ. – νειαιρὴν Lind. – νειέρην FGIK, Ald., Cordæus. — [3] τοὺς om. θ. – νόσος vulg. νοῦσος CJKθ, Cordæus, Lind. – προφάσεων C. – λούειν [δὲ] χρὴ Lind. – χρὴ om. θ. – ἡ om. D. – πεῖσαι C. – πυριᾶσαι θ. — [4] σὺν θ. – βολβίτω H. – βολβύτω C. – τῷ.... ξὺν om. (DH, restit. al. manu) FGIJK. — [5] τῶ DH. – καθαρίδι (sic) FGI. – τρὶς θ. – ῥώμην ἴσχειν νέτωπον C. – ἔχῃ θ. — [6] ἡ om. θ. – λαπαρὰ D. – γίνεται C. – γίνηται θ. – παύονται vulg. – παύωνται CJθ, Cordæus, Lind. — [7] ἐπιμήνια ἢν θ. – ἴῃ pro πρ. Cθ. – προχωρέει vulg. – προχωρέῃ J, Cordæus, Lind. – καὶ (καὶ om. CHθ) τῷ vulg. – συνκ. θ. – μενέτω, καὶ om. (D, restit. al. manu) FGHIJKθ, Ald. – μεσίγυ DFG. – μεσηγὺ CHIKθ, Ald. – μεσσηγὺ J. – κρηθμοῦ vulg. – κριθμοῦ C. – καὶ (καὶ om. Cθ) ἀκτῆς vulg. – λινόζωστιν CDHKθ. – λινοζῶστιν vulg. – ἐσθίειν Cθ. – σκόρδα G. — πρ. ὕ. om. Cθ. – χρῆσθαι θ. – πολυποσίῃ vulg. – πολυποδίῳ Lind. – πουλύποσι θ. — [9] μαλθακοῖσι (addit χρήσθω καὶ πουλύποσι θ) καὶ ὄψοισι (ὄψοισσι sic F; τοῖσι pro ὄψ. θ) (καὶ ὄψ. om. C) θαλ. vulg. – ἢν δὲ τέκῃ (sine καὶ), ὑγιὴς γίνεται Cθ. — [10] ὕδροψ FGK. – ὕδερος L. – ἴδρωψ C. – δ' ὕ. θ. – ἐλάσσω.... πλείονα om. C. – κακείω θ. – πλείονος vulg. – πλέονος θ. — [11] καὶ

le bas-ventre enfle; les mamelles, loin d'être molles, sont dures; le lait est mauvais; la femme semble être enceinte. Voilà à quoi vous reconnaîtrez que c'est une hydropisie. Mais il y a aussi des signes à l'orifice de l'utérus; car la femme, en le touchant, le trouve mince et humide. Le frisson et la fièvre surviennent. A mesure que le temps se prolonge, la douleur occupe le bas-ventre, les lombes, les flancs et les aines. Cette maladie vient à la suite d'un avortement; elle vient aussi par d'autres causes, et, entre autres, par la suppression des menstrues. Il faut laver avec beaucoup d'eau chaude et appliquer des fomentations quand la douleur existe; a-t-elle cessé, administrer un purgatif et faire à la matrice la fumigation avec la bouse de vache; puis mettre le pessaire à la cantharide, et suspendre pendant deux jours ou trois. Si les forces sont bonnes, injection avec le nétopon; le ventre devient-il vide, les fièvres cessent-elles, les règles marchent-elles convenablement, la femme s'unira avec son mari, se tiendra encore à l'usage des pessaires, et, après l'intervalle d'un jour, boira dans du vin, à jeun, l'écorce de crithmos, cinq graines noires de pivoine, graines de sureau; elle mangera de la mercuriale autant qu'elle pourra, de l'ail cru et cuit; elle usera, pour le sommeil, des aliments mous, poulpes et autres chairs molles, chairs marines plutôt que viandes. Si elle devient grosse, elle guérit.

60. (*Hydropisie de matrice, avec grossesse. Traitement.*) Si une hydropisie (De la Nat. de la F., § 35) se forme dans la matrice, les règles sont moindres, plus mauvaises et à de plus longs intervalles. La femme reste grosse pendant deux mois

καιρῷ (καίειν pro καιρῷ, D al. manu καιρὸν, FGHIK, Ald.; καιρῷ om. θ) ἐλάσσονα (ἐλάσσονος θ) ἢ (ἦν pro ἢ DFGHIJK, Ald.; ἢ om. θ) μικρῷ πλείονα ἴῃ (εἴη CL) (ἴῃ om. θ), καὶ vulg. – Si l'on fait attention que la leçon de vulg. et des mss. est inintelligible, si l'on compare le passage parallèle de la Nat. de la Femme qui est καὶ κυΐσκεται ἑκάστοτε διμήνου μικρῷ πλεῖον, si l'on prend en considération le καίειν de beaucoup de mss, on verra qu'il faut lire καὶ κύει δίμηνον ἢ μικρῷ πλέον. – οἰδέῃ C. — [12] ἢ om. C. – τὸ om. C. – κνίμαι θ.

καὶ [1] ἡ ὀσφύς· ἐπειδὰν δὲ συχνὸς χρόνος γένηται, καὶ ἐν γαστρὶ ἔχῃ, διαφθείρει καὶ ἐκβάλλει, καὶ ὕδωρ ξὺν αὐτῷ ἐκχέεται, καὶ ἡ γυνὴ θνήσκει [ὡς ἐπὶ τὸ πουλύ· τὸ δὲ αἷμα φθείρεται, καὶ ὑδεροῦνται. Ταύτην [2] γαλακτοποτέειν, καὶ τῶν μηκώνων πίνειν, ἔστ' ἂν τὸ ἔμβρυον κινέεσθαι δύνηται· ἔτι δὲ [3] πρὸ τούτου ὡς ἐπιτοπουλὺ διαφθείρεται καὶ ἐξαμβλίσκεται, καὶ αἵματος καὶ ὕδατος ῥέουσιν αἱ μῆτραι· ταῦτα δὲ πάσχει οὐδέν τι μᾶλλον ἐκ πόνου ἢ ἄλλως. [4] Τούτῳ δ' ἂν γνοίης ὅτι ὕδρωψ ἐστὶν, εἰ ἀφάσσων τῷ δακτύλῳ ὄψει τὸ στόμα αὐτέων ἰσχνὸν καὶ περίπλεον ὑγρασίης. Ἢν [5] δὲ αὔτη τὸ ἔμβρυον μὴ κατ' ἀρχὰς, ἀλλ' ἤδη δίμηνον, διαφθείρηταί τε καὶ ἀποπνίγηται, ἥ τε γαστὴρ [6] ἡ νειαίρη ἐπανοιδέει, καὶ ἁπτομένη ἀλγέει ὡς ἕλκος, καὶ πυρετὸς μέγας αὐτὴν καὶ βρυγμὸς λαμβάνει, καὶ ὀδύνη ἰσχυρὴ τοῦ αἰδοίου, καὶ τὴν [7] νειαίρην γαστέρα καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας καὶ τὴν ὀσφὺν ὀξέη τε καὶ σπερχνή. Ὅταν οὕτως ἔχῃ, λούειν αὐτὴν θερμῷ, ἢν ἡ ὀδύνη ἔχῃ, καὶ χλιάσματα προσάγειν, [8] πειρεόμενον ὅ τι ἂν μάλιστα προσδέχηται, καὶ φάρμακον καθαρτήριον κάτω· διαλιπεῖν δὲ χρόνον, ὅσον αὐτῇ δοκέει ἱκανὸς εἶναι, καὶ κλύσαι, καὶ [9] πυριῆσαι, καὶ τὴν κυκλάμινον ἐν ῥάκει μέλιτι δεύων προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων· καὶ τῆς κυπαρίσσου [10] καταξύσας καὶ τέγξας ἐν ὕδατι, προσθεῖναι ὡσαύτως, ἐλάσσονι δὲ

[1] Ἡ om. Cθ. – ὀσφῦς FGH. – χρόνον J. – ἔχη ἐν γ. C. – ἔχη ἐν τῇ γ. θ. – διαφθείρη J. – ἐκβάλλη FGI. – σὺν θ. – ἐκχεῖται θ. – χέεται vulg. – αὕτη pro ἡ γ. Cθ. – ἐπιτοπολὺ vulg. – ἐπὶ τὸ πουλὺ CDFHIJK. – ὑδεροῦται vulg. – ὑστεροῦται, al. manu ὑδεροῦται D. – ὑδεροῦνται θ. — [2] γαλακτοπωτέειν θ. – καὶ τ. μ. om. (D, al. manu καὶ μηκ.) FG(H, al. manu καὶ τῶν μηκ.) IJK. – τῶν Cθ. – τῶν om. vulg. – μηκόνων Cθ. – κινῆσθαι τὸ ἔμβρυον θ. — [3] πρὸς vulg. – πρὸ θ, Cornar., Foes in not., Lind. – ἐπὶ τὸ πολὺ Kθ. – ὡς τὸ πολὺ C. – ἐξαμβλήνεται K. – ἐξαμβλίσκεται θ. – ἐξαμβλύνεται vulg. – καὶ αἵμ. om. C. – καὶ ὕδ. om. θ. – ῥαίουσιν θ. – δὲ om. K. – τοι pro τι C. — [4] τοῦτο vulg. – τούτω Cθ. – ὕδροψ FGIK. – εἰ om. θ. – ἐσαφάσσων θ. – ὄψη θ. – αὐτῶν vulg. – αὐτοῦ JK. – αὐτέων θ. – περίπλεων DFGIJK. – ὑγρασίη θ. — [5] δὲ (addit καὶ L) ἐν (καὶ pro ἐν DFGHIJK, Ald.; ἐν om. Cθ) αὐτῇ (αὐτὴ C; αὕτη DHθ) τὸ vulg. – διαφθείρεταί τε καὶ ἀποπνίγεται vulg. – διαφθείρηταί τε καὶ ἀποπνίγηται CJθ, Cordæus, Lind. — [6] ἡ om. DFJK. – νιαιρα θ. – νειαιρὴ Lind. – νειέρη FGIK, Ald., Frob., Cordæus. – ἐπανοιδέη J. – καὶ om. C. – ἀλγέη J. – καὶ pro ὡς K. – ἕλκεος θ. – αὐτῇ DFIK. – λαμβάνη J. – τὸ αιδοῖον L, Cordæus, Lind. — [7] νιαιρανξ θ. – νειαιρὴν Lind. – νειέρην FGIK, Ald., Frob., Cordæus. – ὀξεῖα vulg. – ὀξεία I. – ὀξέη θ. – ὑπερχνὴ (sic) pro σπ. C. – λούειν

ou peu davantage. Le ventre enfle ainsi que le pénil, les jambes et les lombes. Quand beaucoup de temps s'est écoulé et qu'elle est grosse, le fœtus meurt et est expulsé, et de l'eau s'écoule en même temps. Les femmes succombent la plupart du temps; le sang se corrompt, et elles deviennent hydropiques. En ce cas, il faut mettre à l'usage du lait et faire boire des pavots jusqu'à ce que le fœtus puisse se mouvoir. Toutefois, la mort du fœtus et son expulsion surviennent communément avant ce temps, et la matrice laisse écouler du sang et de l'eau. Ces accidents ne surviennent pas plus après de la fatigue qu'autrement. Vous reconnaîtrez qu'il y a de l'eau, à ceci : en touchant avec le doigt, vous trouverez l'orifice mince et plein d'humidité. Si l'avortement survient non pas dès le début, mais le fœtus ayant déjà deux mois, et que la femme éprouve de la suffocation, le bas-ventre se tuméfie, il est douloureux au toucher comme s'il y avait une plaie; grande fièvre; grincement de dents; douleur aiguë et intense aux parties génitales, au bas-ventre, aux hanches, aux flancs et aux lombes. Les choses étant ainsi, on lavera la malade avec de l'eau chaude s'il y a douleur, et on fera des applications chaudes, essayant celles qui sont le mieux supportées; on fera boire un médicament qui évacue par le bas ; après un intervalle tel que vous le jugerez suffisant pour la femme, injection, fumigation; pessaire avec du cyclamen, mouillé avec du miel, mis dans un linge et appliqué à l'orifice de la matrice; ou raclez du cyprès, mouillez avec de l'eau et appliquez semblablement; mais vous laisserez ce pessaire moins longtemps et vous l'appliquerez à des intervalles plus éloignés, attendu

(λούην F) τε (τε om. θ) vulg. – ἡ CIKθ. – ἡ om. vulg. — [8] πειρασόμενον Cordæus. – περιελόμενον C. – πειρόμενος θ. – πειρεώμενον Lind. – διαλειπεῖν (sic) θ. – ὅσος I – αὐτὴ H. – ἄν σοι pro αὐτῇ Cornar., Lind. – δοκέῃ vulg. – δοκέει CFHIJθ. – ἰκ. om. θ. — [9] πυριᾶν θ. – πυρίην C. – καὶ om. θ. – τῆς κυκλαμίνου Cθ. – ἐς (εἰς J; ἐν θ) ῥάκος (ῥάκει θ) vulg. – δὲ υων (sic) θ. – προσθῆναι (bis) FG, Ald., Frob., Lind. — [10] καταψύξας θ. – τάξας pro τέγξ. C. – ἐλάσσω δὲ χρόνον θ. – πλείονος vulg. – πλέωνος θ. – τούτω G, eadem manu, erat prius τοῦτο), Ald. – ὅσον DH.

χρόνῳ καὶ διὰ πλέονος τοῦτο, ὅσῳ μᾶλλον δάκνει καὶ [1] ξαίνει, καὶ μήλην ποιησάμενος κασσιτερίνην ἐγκαθιέναι, καὶ τῷ δακτύλῳ ὡσαύτως, καὶ τὰ ποτήματα ὅ τι ἂν μάλιστα προσίηται πιπίσκειν, καὶ [2] ξυγκοιμάσθω τῷ ἀνδρὶ ὡς μάλιστα τῶν καιρῶν παρόντων· ἢν γὰρ [3] ξυλλάβῃ τὴν γονὴν καὶ κυήσῃ, ὑπεκκαθαίρεται καὶ τὰ πρόσθεν ὑπόντα ξὺν αὐτοῖσι, καὶ οὕτως ἂν μάλιστα ὑγιὴς γένοιτο.

61. Ἢν δὲ γυνὴ [4] ὑδρωπιήσῃ, οἷα τοῦ σπληνὸς ὑδατώδεος καὶ μεγάλου ἐόντος, γίνεται δὲ ὁ σπλὴν ὑδατώδης ἀπὸ τοῦδε τοῦ παθήματος, ἐπὴν πῦρ ἔχῃ καὶ [5] μὴ ἀφίῃ τὴν ἄνθρωπον, καὶ δίψα μιν λαμβάνῃ καρτερὴ, καὶ πίνῃ, καὶ μὴ ἀπεμέῃ· τὸ μὲν γὰρ ἐς τὴν κύστιν διελθὸν διουρέεται, τὸ λοιπὸν δὲ [6] ὁ σπλὴν ἕλκει ἐς ἑωυτὸν ἀπὸ τῆς κοιλίης ἅτε ἀραιὸς ἐὼν καὶ σπογγοειδὴς κείμενός τε κατὰ τὴν κοιλίην· καὶ ἢν τούτων οὕτως ἐχόντων μὴ ἰδρώσῃ, [7] μηδέ οἱ ἡ κύστις διηθῇ, [8] μηδὲ ἡ κοιλίη χαλᾷ, διαίρεται ὁ σπλὴν ὑπὸ τοῦ ποτοῦ, καὶ μᾶλλον ἢν ὕδωρ ᾖ τὸ ποτὸν, καί μιν ἤν τις ἐπαφήσαιτο, μαλθακὸς ὡς μνοῦς [9] ἐστιν, ἔστι δ' ὅτε ἀντιτυπεύμενος· ἀερθεὶς δὲ καὶ ὑπερπιμπλάμενος ἐκδιδοῖ κατὰ τὰς φλέβας τῷ σώματι, καὶ μάλιστα ἐς τὸ [10] ἐπίπλοον καὶ τοῖσιν ἀμφὶ τὴν κοιλίην ἐοῦσι χωρίοισι καὶ τοῖσι σκέλεσιν· ἕτερον γὰρ ἑτέρῳ διεκδιδοῖ ἐν τῷ σώματι, ἐπὴν πλέον ἑκάστῳ τοῦ καιροῦ ᾖ καὶ μὴ δύνηται κατέχειν. Ἐπιγίνεται [11] δὲ ἀπὸ τούτου ὕδρωψ αἰεὶ, ἐπὴν μάθῃ ὁ σπλὴν ἕλκειν ἐς ἑωυτὸν [12] φύσει· ἀραιὸς ὢν καὶ μανός. Γίνεται δὲ ἔστιν ᾗσιν ἀρχὴ αὕτη τῆς νούσου

[1] Ξηραίνει (D, al. manu ξαίνει) HQ'. – ἐξινιει (sic) θ. – On pourrait fort bien lire ἐξινέει. – κασιτ. C. – ἐνκαθισεα (sic) pro καθ. θ. – ἐγκαθίσαι C. — [2] σ. θ. – τῷ om. Cθ. — [3] σ. vulg. – ξ. C, Lind. – Post κυ. addunt καὶ τέκῃ Cornar., Foes in not., Lind. – κυπεκκαθαίρεται (sic) C. – ὑπιόντα vulg. – ὑπόντα θ. – σὺν αὐτέοις θ. – ὑγιὴς om. (D, restit., al. manu post γέν.) HIJK, Ald. — [4] ὑδροποιήσῃ DFGJK. – ὑδροποτήσει J. – ὑδροπιήσῃ C, Ald. – οἱ αὐτοῦ (αὐτῇ J) (οἷα τοῦ Cθ, Lind.) σπλ. vulg. – Post μεγ. addunt δὲ C, οἱ θ. – δὲ pro τοῦδε K. — [5] μὴ om. θ. – τὸν (τὴν HCθ, Cordæus) ἄνθρ. vulg. – ἀπεμῇ θ. – ἀπεμέσῃ vulg. – γὰρ om. θ. – διουρεῖται θ. — [6] ὁ σπλὴν λαμβάνει διασπῶν ἀπὸ τῆς κοιλίης πρὸς ἑωυτὸν, ἅτε vulg. – ὁ σπλὴν ἕλκει ἐς ἑωυτὸν ἀπὸ τῆς κοιλίης, ἅτε Cθ. – ὢν vulg. – ἐὼν Cθ. – οὕτως (οὕτω θ) γινομένων Cθ. – ἰδρώῃ θ. — [7] μηδέ οἱ ἡ κύστις διηθῇ θ. – μ. οἱ ἡ κ. δ. om. vulg. — [8] μηδ' θ. – χαλᾶται vulg. – χαλᾷ θ. – αἵρεται vulg. – διαίρεται θ. – ὑπὸ τούτου (τοῦ πότου θ; τοῦ ποτοῦ L, Lind.) vulg. – ὑδάρεος (sic) θ. – ἐπαφήσετο FGHI, Ald. – μαλθακῶς FJC, Ald. – χνοῦς vulg. – μνοῦς C (D, al. manu χνοῦς) FGHIJKθ, Ald. — [9] ἐστιν om. Cθ. – δὲ ὅτε ἀντιτυπεόμενος C. – ἀρθεὶς Dθ. – πιμπλάμε-

qu'il mord et irrite davantage. Vous aurez une sonde d'étain que vous introduirez, et le doigt de même. Vous essayerez quels sont les breuvages qui passent le mieux à la malade. Elle dormira avec son mari surtout aux époques opportunes ; car, si elle reçoit la semence et devient enceinte, elle se purge en accouchant, et avec cette purgation s'en vont les matières qui séjournaient auparavant : c'est surtout de cette façon qu'elle recouvrera la santé.

61. (*Hydropisie générale causée par une affection de la rate. Cette hydropisie gagne la matrice.*) Une femme est prise d'hydropisie par le fait de la rate, qui devient aqueuse et grosse. La rate devient aqueuse de cette façon : la femme a une fièvre qui ne la quitte pas, elle est très-altérée, elle boit et ne revomit pas ; car une partie de la boisson, allant à la vessie, est chassée par les urines ; le reste est attiré par la rate qui le pompe hors du ventre, attendu qu'elle est lâche, spongieuse et située près du ventre. Si, la chose étant ainsi, il n'y a ni sueur, ni filtration par la vessie, ni flux de ventre (Quatrième livre des Mal., § 57), la rate est distendue par la boisson, surtout si la boisson est de l'eau. En palpant la rate, on la sent molle comme du duvet ; parfois elle est rénitente. Distendue et remplie outre mesure, elle répartit le liquide par les veines du corps, et surtout à l'épiploon, aux régions ventrales et aux membres inférieurs ; car, dans le corps, une partie fournit à l'autre, quand, ayant plus qu'il ne faut, elle ne peut retenir cette surabondance. Ceci cause constamment une hydropisie, quand la rate, qui est lâche et poreuse, a pris l'habitude d'absorber. En quelques cas, le début de la maladie est même sans fièvre,

νος vulg. – ὑπερπιμπλ. θ. – τὰς om. CDHθ. — [10] ἐπίπλοιον C. – ἐπιπλοῖον θ. – σκελέειν (sic) θ. – ἐκδιδοῖ D. – διεκδίδοιεν τῷ C. – Ante ἐπὴν addit καὶ μάλιστα θ. — [11] δὲ om. D. – ἀπὸ τοῦ (τούτου θ) (ἀπὸ ποτοῦ Cordæus ; ἀπὸ τοῦ ποτοῦ L, Lind.) ὕδ. (ὕδρωψ FJK) vulg. – αἰεὶ om. θ. — [12] καὶ φ. ἀρ. ἡ Cθ (Ald., ὧν). – μακρὸς pro μανὸς D. – δὲ (δ' θ) αἷς (ἔστιν ᾗσιν pro αἷς CH) ἀρχὴ vulg. – αὐτῆς L. – τῆς νούσου αὕτη Cθ. – νόσου vulg. – νούσου DJ, Lind. – καῦμά τι (καύματι C) (ἐν pro τι θ) τῇ vulg. – ἐνστάίη vulg. – ἐνστῇ θ. – οἷα om. θ. – ὕδατος pro φλ. L. – κατελθόντος Cθ.

καὶ ἄτερ πυρετοῦ, ἢν καῦμά ἐν τῇ κοιλίῃ ἐνστῇ οἷα φλέγματος ἐς αὐτὴν κατιόντος, καὶ ἢν [1] ἡ ἄνθρωπος τὴν δίψαν μὴ κατέχῃ, μηδ' ἡ κύστις μηδ' ἡ κοιλίη διηθέωσιν οὖρόν τε καὶ κόπρον κατά γε δίκην, [2] μηδὲ ἐπιτηδείῃ διαίτῃ χρέηται ἡ ἄνθρωπος. Ἢν [3] δὲ ὑδρωποειδὴς ᾖ, ἔρχεται τὰ καταμήνια πολλὰ ἐξαπίνης, ὁτὲ δὲ ὀλίγα, καὶ [4] γίνεται ὁτὲ μὲν ὡς ἀπὸ κρεῶν ὕδωρ, εἴ τις αἱματώδεα ἀποπλύνειεν, ὁτὲ δὲ ὀλίγῳ [5] ἰσχυρότερα, καὶ οὐ πήγνυται, καὶ ἆσθμά μιν λαμβάνει, πρὶν ἢ τὰ καταμήνια χωρέειν, καὶ ὀδύνη [6] ἐν τῷ σπληνὶ, καὶ μᾶλλον ἐπήν τι γλυκὺ φάγῃ, καὶ ἡ γαστὴρ ἐξαείρεται καὶ μεγάλη ἐστί· καὶ ἐπὴν πλέονα τοῦ μάθεος φάγῃ, πονέεται τὴν γαστέρα, καὶ τὴν ὀσφὺν ἀλγέει ἄλλοτε καὶ ἄλλοτε, καὶ πῦρ μιν ἐπιλαμβάνει δι' ὀλίγου. Ἐπὴν δὲ ἀποκαθαρθῇ, [7] ῥᾷον δοκέει ἔχειν πρὸς τὰ πρόσθεν, ἔπειτα ἐς τωὐτὸ καθίσταται, καὶ ἢν μελεδαίνηται ὡς χρὴ, ὑγιὴς ἔσται· [8] ἢν δὲ μὴ, ο ροος ἐπιφανεῖται, καὶ διὰ παντὸς τοῦ χρόνου αἰεὶ ῥεύσεται κατ' ὀλίγον οἷον ἰχὼρ, ἐπιμελείης [9] δὲ πλείονος δέεται. Ἢν δὲ μὴ ὁ ῥόος ἐπιγένηται, ἀλλ' αἱ μῆτραι ὑπὸ τῶν πρόσθεν [10] παθημάτων ἀερθεῖσαι μὴ χαλάσωσι τὰ ἐπιμήνια, ἥ τε γαστήρ οἱ μεγάλη ἔσται, καὶ βρῖθος ἐνέσται ὡς τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ δοκέει ὡσεὶ παιδίον ἐν τῇ γαστρὶ αὐτῆς κινέεσθαι, ἅτε τῶν μητρέων ὕδατος πλέων ἐουσέων καὶ τοῦ ὕδατος [11] κινεομένου, ἄλλοτε γὰρ καὶ ἄλλοτε κλυδάζεται αὐτῇσι τὸ ὕδωρ ὡς ἐν ἀσκῷ· καὶ ἀλγεῖ ψαυομένη τὸ κάτω τοῦ ὀμφαλοῦ, καὶ αἱ κληῖδες καὶ ὁ θώρηξ καὶ τὸ πρόσωπον καὶ τὰ ὄμματα καταλεπτύνεται, καὶ αἱ θηλαὶ ἀείρονται. [12] Ἔστι δὲ ᾗσι μὲν ἥ τε κοιλίη καὶ τὰ σκέλεα πλήθει ὕδατος, [13] ᾗσι δὲ ἐς θάτερον τουτέων·

[1] Ὁ Ald. – διὰ θέωσιν (sic) F. – διαθέωσιν Ald. – κόπριον CFGIJθ, Ald. – κατά τε (γε θ, Cordæus, Lind.) vulg. — [2] μηδ' C. – χρέεται C. – χρῆται θ. — [3] δ' θ. – ὑδρωπιώδης θ. – ὑδροποειδὴς FIJK. – ὑδροπιοειδὴς C. – τὰ om. C. – Ante πολ. addit [ὁτὲ μὲν] Lind. – ἐξαπ. πολλὰ C. – ὀλίγιστα θ. — [4] γίνονται vulg. – γίνεται C. – ὕδωρ ὡς (ὡς om. θ) εἴ τις vulg. – ἀποπλύνειν D. — [5] παχύτερα θ. — [6] ἐν om. C. – ἐξαίρεται vulg. – ἐξαείρεται θ. – ἔσται vulg. – ἐστι Cθ. – πλείονα J. – ἔθεος θ. – πονεῖ τε (πονέεται θ) τὴν vulg. — [7] ῥήϊστον (ῥαῖον θ) δοκέῃ (δοκέει CDFHJK, Cordæus, Lind.) (addit ἔχειν θ) πρὸς vulg. – ἐς τὸ αὐτὸ (τωυτὸ θ) vulg. — [8] ἢν (εἰ Cθ) δὲ μὴ, καὶ (καὶ om. Cθ) ὁ ῥ. (ὀρθῶς pro ὁ ῥ. C) ἐπιφαίνεται (ἐπιφαίνηται J, Lind.; ἐπιφανεῖται θ) vulg. – ἀεὶ θ. – ῥεύσηται Lind. – ἐπιμελίης Cθ. — [9] δὲ θ. – δὲ om. vulg. – πλ. om. Cθ. – δεῖται θ. – ὁ Cθ. – ὁ om. vulg. — [10] παθημάτων ἀείρειται (sic) θ. – π. ἀ. om. vulg. – Je lis ἀερθεῖσαι – χαλῶσι θ. – βρῖθονος (sic) C. – ἐνείη (ἔσται C; ἐνέσται θ, Lind.) ὡς vulg. – τῇ om. Cθ. – δοκέῃ vulg. – δοκέει Cθ, Lind. –

quand, de la chaleur se développant dans le ventre par le fait du phlegme qui y descend, et la femme ne retenant pas sa soif, la vessie et le ventre n'émettent pas l'urine et les selles comme il convient, et que le régime n'est pas convenable. L'hydropisie étant formée, les règles viennent soudainement en abondance, parfois en petite quantité; tantôt elles sont comme de l'eau de chairs sanguinolentes qu'on aurait lavées, tantôt plus consistantes, et elles ne se coagulent pas. Il y a de l'oppression avant qu'elles viennent. La rate est douloureuse, surtout quand la malade a mangé quelque chose de doux. Le ventre se gonfle et devient gros; quand elle a mangé plus que d'habitude, elle y souffre. Les lombes sont douloureuses de temps en temps. La fièvre survient à de courts intervalles. Après la purgation menstruelle, elle paraît être mieux comparativement aux jours précédents; puis l'état redevient le même; et, si on la traite comme il convient, elle guérit. Sinon, l'écoulement apparaîtra, et tout le temps il s'échappera continuellement, peu à peu, un liquide ichoreux; cela exige beaucoup de soins. Si l'écoulement ne survient pas et que la matrice, distendue par les affections susdites, ne laisse pas aller les menstrues, le ventre deviendra gros, un poids se fera sentir comme chez une femme enceinte; il semblera qu'un enfant se remue dans son ventre; en effet la matrice est pleine d'eau, l'eau s'y meut, et par intervalle elle y fait un flot comme dans une outre. La femme souffre à la région sous-ombilicale quand on y touche. Les clavicules, la poitrine, le visage, les yeux maigrissent, et les mamelons se redressent. En quelques cas, le ventre et les membres inférieurs s'emplissent d'eau; en d'autres, c'est ou le ventre ou les membres inférieurs. Si le

αὐτῆς om. C0. – κεινεσθαι (sic) 0. – ὕδατος om. 0. – οὐσέων (ἐχουσέων D) πεπληρωμένων vulg. – πλεῖον (πλέων θ) ἐουσέων C0. — [11] κινουμένου vulg. – κεινεομένου 0. – κινεομένου C. – ταυ (sic) pro γὰρ 0. – κλυδάσσεται 0. – αὐτῇσι om. C0. – ἀλγήσει C0. – καταλεπτύνονται 0. – θῆλαι FI0, Ald., Frob., Cordæus. – αἴρονται vulg. – ἀείρονται 0. — [12] εἰσὶ L., Lind. – δ' 0. – πλησθῇ 0. – τοῦ ὕδατος Cθ. — [13] εἰσὶ pro ᾖσι DFGHJ0, Ald. – ἔτι pro ᾖσι C. – [εἰσὶ] δὲ ᾖσιν Lind. – δαι (sic) pro δ' ἐς 0. – τούτων 0.

[1]καὶ ἢν μὲν ἄμφω πλησθῇ, οὐδεμία ἔλπὶς περιγενέσθαι τὴν ἄνθρωπόν ἐστιν· ἢν δὲ θάτερον τούτων, ἐλπίδες ὀλίγαι, ἢν μελεδαίνηται καὶ μὴ λίην τετρυχωμένη ᾖ. Χρονίη δὲ αὕτη ἡ νοῦσος.

62. Γίνεται δὲ [2]πάντα μᾶλλον μὲν τῇσιν ἀτόκοισιν, γίνεται δὲ πολλάκις καὶ τῇσι τετοκυίῃσιν· ἐπικίνδυνα [3]δέ ἐστιν, ὡς εἴρηται, καὶ τοπουλὺ ὀξέα καὶ μεγάλα καὶ χαλεπὰ ξυνιέναι, διὰ τοῦθ' ὅτι αἱ γυναῖκες μετέχουσι τῶν νούσων, καὶ ἔσθ' ὅτε οὐδ' αὐταὶ ἴσασιν [4]τί νοσέουσιν, πρὶν ἢ ἔμπειροι νούσων γένωνται ἀπὸ καταμηνίων καὶ ἔωσι γεραίτεραι· τότε δὲ σφέας ἥ τε ἀνάγκη καὶ ὁ χρόνος διδάσκει τὸ αἴτιον τῶν νούσων, καὶ ἔστιν ὅτε [5]τῇσι μὴ γινωσκούσῃσιν ὑφ' ὅτευ νοσεῦσι φθάνει τὰ νοσήματα ἀνίητα γινόμενα, πρὶν ἂν διδαχθῆναι τὸν ἰητρὸν ὀρθῶς ὑπὸ τῆς νοσεούσης ὑφ' ὅτου νοσέει· καὶ γὰρ αἰδέονται φράζειν, κἢν εἰδῶσι, καί σφιν δοκέουσιν αἰσχρὸν εἶναι ὑπὸ ἀπειρίης [6]καὶ ἀνεπιστημοσύνης. Ἅμα δὲ καὶ οἱ ἰητροὶ ἁμαρτάνουσιν, οὐκ ἀτρεκέως πυνθανόμενοι τὴν πρόφασιν τῆς νούσου, ἀλλ' ὡς τὰ ἀνδρικὰ νοσήματα ἰώμενοι· καὶ πολλὰς εἶδον διεφθαρμένας ἤδη ὑπὸ τοιούτων παθημάτων. Ἀλλὰ χρὴ ἀνερωτᾷν αὐτίκα ἀτρεκέως τὸ αἴτιον· διαφέρει γὰρ [7]ἡ ἴησις πολλῷ τῶν γυναικηΐων νοσημάτων καὶ τῶν ἀνδρώων.

63. Ἢν [8]δὲ αἱ μῆτραι ἑλκωθέωσιν, αἷμα καὶ πῦα καθαίρεται, καὶ ὀσμὴ βαρέη γίνεται, καὶ ὀδύνη ὀξέη λαμβάνει ἐς τὰς ἰξύας καὶ ἐς τοὺς βουβῶνας καὶ ἐς τὴν νειαίρην γαστέρα, [9]καὶ ἄνω φοιτᾷ ἡ ὀδύνη ἐς τοὺς κενεῶνας καὶ [10]ἐς τὰς πλευρὰς [11]καὶ ἐς τὰς ὠμοπλάτας,

[1] Καὶ.... τούτων om. θ. – τὴν ἄνθρ. om. C. – ἄνθρωπον· ἔστι (εἰσὶ pro ἔστι Lind.) δὲ ἢν θάτερον vulg. – Je lis ἄνθρωπόν ἐστιν· ἢν δέ. – ἡ pro ᾖ θ. – ἡ v. αὕτη θ. — [2]π. om. DFGHIJKL. – μὲν om. DFGHIJ. – τοῖσιν (bis) C. – πολλ. om. Cθ. – τε τοκίῃσιν θ. — [3]δέ (δ' θ) εἰσιν (ἔστιν θ; ἐστιν DC) vulg. – τὸ πολὺ Cθ. – συν. Jθ. — [4]ὅτι (τί θ) vulg. – νοσεῦσι C. – ἐῶσι θ. — [5]τοῖσι C. – γινώσκουσιν D. – ὑποτευ (sic) (bis) θ. – νοσεύματα C. – ἀνίατα DH. – γιγν. C. – σινόμενα pro γινόμ. DI. – ἢ pro ἂν Cθ. – νοσούσης DGIJ. – νοσεύσης C. – αἰδεῦνται C. – δοκοῦσι vulg. – δοκέουσιν θ. – δοκεῦσιν C. – ἐσχρὸν θ. — [6]καὶ om. (DH, restit. al. manu) FGIJK. – ἶτροὶ (sic) HI. – νόσου J. – ὡς ἀνδρικὰ τὰ νουσ. C. – τ' ἀνδρικὰ θ. – υπὸ τῶν (τῶν om. Cθ) τ. vulg. — [7]ἡ om. θ. – πολλὸν vulg. – πολλῶ C. – γυναικείων vulg. – γυναικηΐων C. – νουσ. Lind. – ἀνδρίων FIθ. – ἀνδρείων DHJK. – ἀνδρῶν L. — [8]δ' θ. – ἑλκωθῶσιν vulg. – ἑλκωθέωσιν Cθ, Lind. – πῦον L, Lind. – ὀλμὴ (sic) θ. – βαρεῖα C. – βαρείη vulg. – βαρέη θ. – γίν. om., restit. al. manu D. – ὀξεῖα C. – ὀξείη vulg. – ὀξέη θ. – νιαιραν θ. – νειαιρὴν Lind. – νειέρην FGIK, Ald., Frob., Cordæus. —

ventre et les membres inférieurs s'emplissent, il n'y a aucune chance de salut pour la malade; si le ventre ou les membres, il y a quelques chances, supposé que le traitement intervienne et que la femme ne soit pas trop épuisée. Cette maladie est de longue durée.

62. (*Réflexions générales sur les maladies des femmes. Les femmes, par ignorance ou par pudeur, hésitent à en parler; les médecins les méconnaissent souvent. Les maladies des femmes diffèrent beaucoup de celles des hommes.*) Tous les accidents arrivent de préférence aux femmes qui n'ont pas eu d'enfant; pourtant ils surviennent souvent aussi chez celles qui en ont eu. Ils sont graves, comme il a été dit, et généralement aigus, intenses, et, parce que les femmes partagent les maladies [communes], difficiles à comprendre. Parfois elles ne savent pas elles-mêmes quel est leur mal, avant d'avoir l'expérience des maladies provenant des menstrues et d'être plus avancées en âge. Alors, la nécessité et le temps leur enseignent la eause de leurs maux. Souvent, chez les femmes qui ne connaissent pas la source de leurs souffrances, les maladies sont devenues incurables, avant que le médecin ait été instruit par la malade de l'origine du mal. En effet, par pudeur, elles ne parlent pas, même quand elles savent; et l'inexpérience et l'ignorance leur font regarder cela comme honteux pour elles. En outre, les médecins commettent la faute de ne pas s'informer exactement de la cause de la maladie, et de traiter comme s'il s'agissait d'une maladie masculine; et j'ai vu déjà plus d'une femme succomber ainsi à cette sorte d'affections. Il faut, dès le début, interroger soigneusement sur la cause; car les maladies des femmes et celles des hommes diffèrent beaucoup pour le traitement.

63. (*Ulcération aiguë de l'utérus.*) Si la matrice s'ulcère, du sang et du pus s'écoule; odeur forte; douleur aiguë aux lombes, aux aines, au bas-ventre. Cette douleur monte, par les flancs, aux côtés, aux omoplates; parfois elle gagne les

[9] καὶ ἐς τοὺς (sic) ὠμοπλάτας ἄνω φοιτᾷ ἡ ὀδύνη pro καὶ.... ὀδύνη C. — [10] ἐς om. θ. — [11] κ. ἐς τ. ὠ. om. C.–ἐς τὰς om. θ.–ἀφίκνεται (sic) C.–ἀφικνεῖται θ.

ἐνίοτε δὲ καὶ ἐς τὰς κληῖδας ἀφικνέεται, καὶ δάκνεται, καὶ κεφαλὴν ἀλγέει σφοδρῶς, καὶ παρανοεῖ· [1] τῷ δὲ χρόνῳ ἀνοιδίσκεται πᾶσα. καὶ ἀσθενείη μιν λαμβάνει, καὶ ἀψυχίη, καὶ πυρετὸς λεπτὸς, καὶ περίψυξις· οἰδίσκεται δὲ μάλιστα τὰ σκέλεα. Ἡ δὲ νοῦσος λαμβάνει ἐκ τρωσμοῦ, ἥτις ἂν [2] διαφθείρασα τὸ παιδίον ἐγκατασαπὲν μὴ ἐκκαθαρθῇ, καὶ τὸ στόμα πῦρ ἔχει· λαμβάνει δὲ καὶ ἐκ τῶν ῥόων, [3] καὶ ἢν ἐπὶ σφέας δριμέα ᾖ καὶ χολώδεα, δάκνει. [4] Ἢν οὕτως ἐχούσῃ ἐπιτυγχάνῃς, ἐπὴν μὲν αἱ ὀδύναι ἔχωσι, λούειν τε πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ· καὶ ἢν μὲν ἄνω [5] αἱ ὀδύναι ἔωσιν, [6] ἢν μὲν ἰσχυρὴ ἡ γυνὴ ᾖ, πυριήσασθαι ὅλην καὶ φάρμακον δοῦναι κάτω πιεῖν· καὶ ἐπὴν ὥρη ᾖ τοῦ ἔτεος, [7] ὀῤῥὸν ἀφεψῶν, διδόναι ἐπιπίνειν ἡμέρας πέντε, ἢν δυνατὴ ᾖ· ἢν δὲ μὴ [8] ᾖ ὀῤῥὸς, ὄνου γάλα ἑψεῖν, καὶ διδόναι πίνειν ἡμέρας τρεῖς ἢ τέσσαρας· μετὰ δὲ τὴν γαλακτοποσίην, ὕδατι ἀνακομίσαι αὐτὴν καὶ σιτίοισιν ἐπιτηδείοισι, κρέασι μηλείοισιν, ἁπαλοῖσι, νέοισι, καὶ ὀρνιθείοισι, καὶ τευτλίῳ, καὶ κολοκύντῃ· ἀπεχέσθω δὲ [9] τῶν ἁλμυρῶν καὶ δριμέων καὶ τῶν θαλασσίων πάντων καὶ κρεῶν χοιρείων καὶ βοείων καὶ αἰγείων· ἄρτους δὲ ἐσθιέτω· ἢν δὲ ἀψυχίαι [10] ἔχωσι καὶ μὴ ἰσχύῃ καὶ περιψύχηται, ῥόφημα λαμβάνειν. Εἰσὶ δέ [11] τινες, οἳ ταύτῃσι κεφαλὴν ἀλγεούσῃσι πιπίσκουσι γάλα, ὅτι [12] κεφαλὴν ἀλγέουσιν, οἱ δὲ ὕδωρ, ὅτι λειποθυμέουσι· τἀναντία δὲ οἴομαι· [13] εἰ κεφαλὴν ἀλγέοιεν καὶ φρενῶν εἴη ἄψις, ἁρμόσσον ὕδωρ, ὅτε δὲ δάκνεται καὶ δριμέα ἐστὶ, γάλα ταύτῃσιν εὐμενές. Ἐπὴν δέ σοι δοκέῃ ἰσχύειν, κλύζειν τὰς ὑστέρας, πρῶτα μὲν [14] τῷ ἀπὸ τῆς τρυγὸς, μετὰ δὲ ταῦτα διαλι-

[1] Τῷ χρ. δὲ C. — ἀσθενίη θ. – Ante λεπτὸς addunt καὶ FGI. – τὰ om. C. — [2] διαφθείρασα Cθ. – διαφθαρεῖσα vulg. – ἐκκαθαρθῇ JLθ, Lind. – ἐγκαθαρθῇ vulg. – καὶ τὸ σῶμα (στόμα θ) πᾶν (πᾶν om. Cθ) ἔχει vulg. — [3] κἢν ἐ. σφᾶς θ. – δρ. ἂν (ἂν om. Cθ) ᾖ (εἴη θ; ἴῃ Cordæus, Lind.) vulg. – δάκνῃ D. — [4] ἢν δὲ θ. – Pro ἐχούσῃ habent ἔχωσιν FG; ἔχουσιν DK; ἐχούσα (sic) Ald. – ὅπου θ. — [5] αἱ CLθ, Lind. – αἱ om. vulg. – ἐῶσι θ. — [6] καὶ ἰσχυρή ἐστιν ἡ γυνὴ vulg. – ἢν μὲν ἰσχυρὴ ἡ γυνὴ C (θ, addit ᾖ) – πυριάσας ὅλ. φ. δοῦναι θ. – διδόναι vulg. – πίνειν L. — [7] ὀρὸν C. – ὄρον θ. — [8] ὀῤῥὸς ᾖ J. – ουρος (sic) θ. – ὀρὸς C. – ἕψειν C. – ἀφεψεῖν θ. – τρὶς ἢ τέσσερας θ. – τέτταρας K. – ὕδατι (L, sed forte ἡδύσμασιν) θ. – ὕδασιν vulg. – μηλίοισιν C. – μὴ λίοισιν θ. – In marg. μῆλον καλέεται τὸ πρόβατον ἀπὸ τοῦ μελλειν τὴν φρόντιδα ἔχειν· οἱ γὰρ παλαιοὶ περὶ τὴν τῶν βοσκημάτων κτῆσιν ἐσπούδαζον μάλιστα G. – ὀρνιθίοισι C. – ὀρνηθίοισι θ. – τευτλευτίω (sic) κ. κολοκύνθῃ C. — [9] καὶ pro τῶν C. – χοιρίων Cθ. – βοΐων θ. – αἰγίων C. – οειων (sic) pro αἰγ. θ. — [10] ἐῶσιν

clavicules; elle est mordicante; céphalalgie intense; délire. Avec le temps, la femme enfle tout entière, et elle est faible; défaillance, fièvre légère, refroidissement. Les jambes surtout sont enflées. Cette maladie survient après l'accouchement, quand la femme, avortant et se débarrassant d'un fœtus putréfié, n'a pas de purgation lochiale et que l'orifice utérin est très-chaud; elle survient aussi à la suite d'écoulements qui, devenant âcres et bilieux, corrodent. Si une telle maladie vous échoit, quand les douleurs sont actuelles, lavez avec beaucoup d'eau chaude, appliquez des fomentations chaudes sur les parties douloureuses. Les douleurs sont-elles en haut et la femme est-elle forte, fumigation générale et purgatif. La saison de l'année le permet-elle, faire bouillir du petit-lait que la femme boira pendant cinq jours, si elle peut. N'y a-t-il point de petit-lait, faire bouillir du lait d'ânesse, et le boire pendant trois ou quatre jours. Après la cure par le lait, on restaurera la femme par l'eau, par des aliments convenables, viandes de mouton tendres, jeunes, oiseaux, bette, concombre; abstinence des choses salées, âcres, de toutes les productions marines, du porc, du bœuf, de la chèvre; manger du pain. S'il y a des défaillances, si la femme n'est pas forte, si elle se refroidit, prendre des potages d'orge. Il est des gens qui, à ces femmes souffrant de la tête, prescrivent le lait à cause de la céphalalgie; et d'autres qui prescrivent l'eau à cause des lipothymies. C'est le contraire, je pense (Aph. V, 64): si la tête est douloureuse et l'intelligence prise, l'eau convient; s'il y a mordication et âcreté, le lait est favorable. Dans le cas où la femme paraît avoir de la force, faire l'injection utérine d'abord avec la préparation à la lie; puis, après une interrup-

C. — [11] τινες om. C. - τἄλλα pro γάλα C. — [12] κεφαλαλγέουσιν θ. - ἀλγοῦσιν vulg. - ἀλγεῦσιν C. - ἀλγέουσιν L, Lind. - λειποθυμοῦσι vulg. (λιπ. D). - λιποθυμέουσι θ. - λειποθυμέουσι Lind. - λειποθυμεῦσι C. - ταντια (sic) θ. - οἶμαι vulg. - οἴομαι Cθ. — [13] εἰ om. θ. - ἀλγέουσι vulg. - ἀλγέοιεν Cθ. - ἁρμόσον vulg. - ἁρμόσει θ. - ἁρμόζον Cordæus, Lind. - ἅρμοζον L. - ἅρμοσον C. - ἁρμόττον D. - ἁρμόσσον FJ. - ἁρμόσιον (sic) K. - δάκνειται θ. - δριμεία IK. - δριμεῖα C. - εὐμενὴς C. — [14] τὸ C. - διαλειπών (sic) θ. - τρὶς ἢ τεσσερας θ.

πὼν ἡμέρας τρεῖς ἢ τέσσαρας κλύζειν [1] τῷ ξὺν τῷ κραμβίῳ χλιερῷ, καὶ αὖθις διαλιπὼν ἡμέρας τρεῖς κλύσαι τῷ [2] ξὺν τῷ πικερίῳ· καὶ ἢν ταῦτα ποιήσαντι [3] ὑγιάζωνται αἱ ὑστέραι, κλύσαι τῷ ξὺν τῷ σιδίῳ· ἐπὶ δὲ τὰ ἕλκεα ἐπιχρίειν ἀργύρεον ἄνθος, καὶ κικίδα, καὶ σμύρναν, καὶ λιβανωτὸν, καὶ τοῦ αἰγυπτίου ἀκάνθου τὸν καρπὸν, καὶ οἰνάνθην τὴν ἀγρίην, καὶ χρυσοκόλλην, καὶ λεπίδα, καὶ λωτοῦ πρίσματα, καὶ κρόκον, [4] καὶ στυπτηρίην αἰγυπτίην κατακεκαυμένην· τούτων ἓν ἔστω ἴσον ἑκάστου, τὴν δὲ στυπτηρίην καὶ τὴν κικίδα καὶ τὸν κρόκον ποιῆσαι μίαν μοῖραν [5] πάντων· τρίψας δὲ καὶ ξυμμίξας πάντα λεῖα, διεῖναι ἐν οἴνῳ λευκῷ γλυκεῖ· ἔπειτα ἑψεῖν, ἔστ' ἂν παχὺ γένηται οἷόν περ μέλι· τούτῳ [6] δὲ ἐπαλείφειν δὶς τῆς ἡμέρης διδόναι, νιψαμένην ὕδατι χλιερῷ· ἑψεῖν [7] δὲ ἐν τῷ ὕδατι καὶ κισθὸν καὶ ἐλελίσφακον. Καὶ ἐπήν σοι δοκέῃ ταῦτα ποιέοντι ῥᾴων εἶναι, προπιεῖν γάλα ἑφθὸν αἴγειον μίην ἡμέρην, ἔπειτα διδόναι γάλα βόειον, τὸν αὐτὸν τρόπον οἷον ἐπὶ τῇσι προτέρῃσι· μετὰ δὲ τὴν γαλακτοποσίην παχῦναι σιτίοισιν ὡς μάλιστα, καὶ ποιέειν ὅκως ἐν [8] τῇ γαστρὶ ἔχῃ· ὑγιὴς γὰρ γενήσεται. Ὡς δὲ τὰ πολλὰ ἐκ τῆς νούσου ταύτης ἐκφεύγουσι, καὶ ἄτοκοι γίνονται· [9] αἱ δὲ γεραίτεραι οὐ πάνυ τι. Πίνειν δὲ μετὰ τὰ φάρμακα λίνου σπέρμα ἀποπεφωσμένον, καὶ σήσαμον, καὶ [10] κνίδης καρπὸν, και γλυκυσίδης ῥίζαν τὴν πικρὴν τρίβων ἐν οἴνῳ εὐώδει μέλανι κεκρημένῳ.

64. [11] Ἢν αἱ μῆτραι ἑλκωθέωσι, καὶ αἷμα καὶ πῦον ῥέει καὶ ἰχώρ· σηπομένων γὰρ τῶν μητρέων, νόσημα ἀπ' αὐτέων γίνεται, καὶ ἡ γαστὴρ ἡ [12] νειαίρη ἐπαείρεται, καὶ λεπτὴ γίνεται, καὶ ἀλγέει ψαυο-

[1] Τὸ C. – ξὺν C, Lind. – σὺν vulg. – χλιηρῷ vulg. – χλιερῶ θ. – αὖτις θ. – διαλειπὼν (sic) θ. – τρὶς θ. – Post τρεῖς addit ἢ τεσσαρας D. — [2] σὺν vulg. – ξὺν C, Lind. – πικαιρίω C. — [3] ὑγιάζονται Cθ. – σὺν DHθ. – ἀργύριον D. – κηκίδα (bis) Cθ. – κάνθου (D, al. manu ἀκάνθου) IK, Ald. – κανθοῦ C. – χρυσοκολλαν (sic) θ. – πρίσμα θ. — [4] καὶ.... κρόκον om. (D, restit. al. manu) FGHIJK. – ἓν om. θ. – μοίραν FHIJ. – μοίρην D. — [5] πάντα (D, emend. al. manu) FGHIJK. – συμμ. Jθ. – λία θ. – λίαν ἱέναι C. – γλ. om. L. – ἕψειν C. – παχὺν C. — [6] δὲ om. CD (F, restit. al. manu) HIJKθ. – ἐπάλιφε δὶς τῆς ἡ. διανιψαμένην θ. – νιψωμένην G. – χλιαρῷ vulg. – χλιηρῶ DH. – χλιερῶ K. – ἕψειν C. — [7] δ'ἐν θ. – κισσὸν DFGJ, Lind. – κιστὸν C. – ποιεῦντι C. – ῥᾷον vulg. – ῥαίων C. – ῥάων θ. – πρ. χρὴ γάλα θ. – αἴγιον C. – διδόναι δὲ καὶ pro ἔπ. διδόναι θ. – βόῖον θ. – οἷόνπερ θ. – γαλακτοπωτίην θ. – σιτοῖσιν (sic) θ. – ὅπως θ. — [8] τῇ om. θ. – ἔχει C. – γένηται vulg. – γενήσεται Lθ, Cordæus, Lind.

tion de trois ou quatre jours, avec la préparation à l'eau de chou, tiède; de rechef, après une interruption de trois jours, avec la préparation au beurre; et si, durant ces opérations, la matrice guérit, avec la préparation à l'écorce de grenade. Sur les ulcérations on fera des onctions avec fleur d'argent (*oxyde de plomb*), noix de galle, myrrhe, encens, fruit de l'épine d'Égypte (*mimosa nilotica*, L.), fleur de vigne sauvage, chrysocolle, écaille de cuivre, sciure de lotus, safran, alun d'Égypte calciné; de chaque partie égale, sauf l'alun, la noix de galle et le safran, qui formeront la moitié du tout; pilez fin, mêlez, mouillez avec du vin blanc doux; faites cuire jusqu'à consistance de miel. Donnez, de cette préparation, de quoi s'oindre deux fois par jour; la femme se sera lavée avec de l'eau tiède où du lierre et de la sauge auront bouilli. Quand, par ces moyens, la femme paraît être mieux, lui faire boire préalablement, pendant un jour, du lait bouilli de chèvre; puis donner du lait de vache, de la même façon que dans les cas précédents. Après la cure par le lait, donner autant d'embonpoint que possible par l'alimentation, et faire en sorte que la femme devienne enceinte; car elle guérira. En général, les malades réchappent, mais deviennent stériles. Les femmes qui sont d'un certain âge ont moins de chances de réchapper. Après les évacuants, prenez graine de lin grillée, sésame, graine d'ortie, racine amère de pivoine, pilez dans du vin noir, de bonne odeur, coupé d'eau, et faites boire.

64. (*Autre cas de l'ulcération aiguë de l'utérus.*) Si la matrice est ulcérée, du sang, du pus et de l'ichor s'en écoulent; car, la matrice se corrompant, il en provient une maladie; le bas-ventre se tuméfie, devient mince, et, au toucher, est dou-

— [9] τῇσι δὲ γεραιτέρῃσιν vulg. – αἱ δὲ γερέτεραι (sic) θ. – τοι pro τι L, Lind. – δὲ μετ' αὐτὰ (μετὰ τὰ θ) φ. vulg. – λινούσπερμα πεφωγμένον θ. — [10] κνήδης IK. – κνιδέης (sic) C. – οἰνώδει θ. — [11] ἢν δ' αἱ θ. – ἑλκωθῶσι θ. – πῦος θ. – ῥέοι vulg. – ῥαίη θ. – ῥέῃ D. – Je lis ῥέει. – νούσ. Lind. – ἐπ' αὐτῶν C. — [12] νιαιρα θ. – νειαιρὴ Lind. – νειαίρα D. – νειέρῃ FGIK, Ald., Frob., Cordæus. – ἐπαίρεται vulg. – ἐπαείρεται θ. – ὀξείη vulg. – ὀξέη θ. – περχνὴ (sic) θ. – ἔσται pro ἔς τε θ. – ἐπίσιον DGJθ, Ald. – ἐπισίον FHIK. – ἐπίσχιον C.

μένη, ὡς ἕλκος, καὶ πῦρ ἔχει καὶ βρυγμὸς αὐτὴν, καὶ ὀδύνη ὀξέη καὶ σπερχνὴ ἔς τε τὰ αἰδοῖα καὶ ἐς τὸ ἐπίσειον καὶ ἐς τὴν γαστέρα [1] τὴν νειαίρην καὶ ἐς τὸν κενεῶνα καὶ ἐς τὰς ἰξύας· ἡ δὲ νοῦσος λαμβάνει μάλιστα μὲν ἐκ τόκου, [2] ἢν αὐτῇσί τι διακναισθὲν ἐνσαπῇ, καὶ ἐκ τρωσμοῦ, καὶ ἄλλως ἀπὸ ταυτομάτου. Ταύτῃσιν ἢν ἐπιτυγχάνῃς, λούειν ἐν ὕδατι πολλῷ καὶ θερμῷ, καὶ ὅκου ἂν ἡ ὀδύνη [3] ἔχῃ, τὰ χλιάσματα προστιθέναι καὶ σπόγγον ἐξ ὕδατος θερμοῦ, [4] καὶ κλύζειν, τὰ δριμέα καὶ τὰ στρυφνὰ ἀπεχομένην· τῶν δὲ μαλακωτέρων διάμισγε ὅκως ἂν δοκέῃ σοι καιρὸς εἶναι· τοῦ τε λίνου τὸν καρπὸν κόψας καὶ τῆς ἀκτῆς, ξυμμίξας δὲ ἐν μέλιτι καὶ ποιήσας φάρμακον, τούτῳ χρῶ· [5] λοῦσον δὲ ὕδατι θερμῷ, καὶ λαβὼν σπόγγον ἢ εἴριον μαλθακὸν βάπτων ἐς θερμὸν ὕδωρ διακάθαιρε τά τε αἰδοῖα καὶ τὰ ἕλκεα· [6] εἶτα ἐς οἶνον ἄκρητον ἐμβάπτων πάλιν τὸν σπόγγον ἢ τὸ εἴριον τὸν αὐτὸν τρόπον χρῶ· ἔπειτα τῷ φαρμάκῳ τούτῳ ἐνάλειφε, ὁσάκις ἂν δοκέῃ σοι καιρὸς εἶναι· ἔπειτα [7] ῥητίνην καὶ στέαρ ὕειον μίξας ὁμοῦ τῷ φαρμάκῳ, διαλείφειν τῷ δακτύλῳ πολλάκις μεθ' ἡμέρην καὶ τῆς νυκτός· μετὰ δὲ ταῦτα λίνου σπέρμα φώξας [8] καὶ κόψας καὶ σήσας, μήκωνα λευκὴν [9] κόψαι ἐν ἀλφίτοισι καὶ σῆσαι, καὶ τυρὸν αἴγειον ὀπτᾶν περιξύσας τὸ ῥῦπος καὶ τὴν ἅλμην, καὶ τὸ [10] πικέριον ξυμμίξαι καὶ πάλην ἀλφίτου, εἶτα ἓν τοῦ φαρμάκου μέτρον καὶ τοῦ τυροῦ καὶ [11] τοῦ ἀλφίτου ποιῆσαι, καὶ τοῦτο διδόναι πίνειν ἐξ ἠοῦς νήστει ἐν οἴνῳ αὐστηρῷ κεκρημένῳ· ἐς δὲ τὴν ἑσπέρην μίσγων καὶ παχὺν κυκεῶνα διδόναι, καὶ [12] τῶν γυναικείων ὅ τι ἂν μάλιστα προσδέχηται πιπίσκειν. Καὶ μέχρι μὲν ἂν τὸ αἷμα πουλὺ

[1] Καὶ ἐς pro τὴν C. – νειαιρᾶν (sic) θ. – νειαιρὴν Lind. – νειέρην FGIK. Ald., Frob., Cordæus. — [2] ἢν ἐν (ἐν om. θ) αὐτῇσι (αὐτῇ θ) vulg. – διακνησθὲν vulg. – διακναισθὲν Cθ. – διακνισθὲν Lind. – Erot. p. 128 : διακναισθὲν, διαφθαρέν. – σαπῇ vulg. – ἐνσαπῇ Cθ. – ἢ καὶ ἐκ θ. – ταύτης DFGIKθ. – δὲ ἢν Cθ. – θερ. καὶ πολλῷ θ. – ὅπου θ. — [3] λαμβάνη Cθ. – τοιαῦτα (τοι. om. θ) τὰ χλ. vulg. – σπόγγιον θ. – θερμοῦ om. θ. — [4] καὶ om. FGHIJ. – μαλθακωτέρων C. – διάσμιγε H. – ὅπως θ. – ἂν θ. – ἂν om. vulg. – δοκέει DHI. – δὲ pro τε θ. – συμμίξας vulg. – ξύμμιξον C. – σύμμιξον θ. – ἐν om. Cθ. – ποίησον C. – πότισον θ. – τούτῳ χρῶ om. θ. — [5] Ante λ. addit ἔπειτα θ. – δὲ om. Cθ. – σπ. λαβὼν Cθ. — [6] εἶτα.... χρῶ om. J. – τῶ αὐτῶ τρόπω H. – χρῶ om. C. – ἐπάλειφε θ. – ὁποσάκις θ. – ὁκοσάκις C. – ἢν pro ἂν C. — [7] ῥιτ. FGI. – ὕιον C. – τῶ δακτύλω Cθ. – τῷ δ. om. vulg. – τῆς om. K. – ταῦτα om. θ. – λινουσπερμα θ. — [8] κ. κ. om. D. – μήκωνα.... περιξύσας om. (DH, restit. al. manu) GIJK. — [9] κόψας vulg. – κόψαι θ. – ἐν.... περιξύσας om. F. – καὶ αἴγειον

loureux comme une plaie. Fièvre, grincement de dents ; douleur aiguë et continuelle aux parties génitales, au pubis, au bas-ventre, aux flancs, aux lombes. La maladie survient surtout à la suite de l'accouchement, quand quelque chose de déchiré se pourrit dans la matrice ; elle survient encore à la suite de l'avortement et même spontanément. Si une telle malade vous échoit, laver avec beaucoup d'eau chaude, et, là où siége la douleur, appliquer les fomentations, une éponge trempée dans l'eau chaude et exprimée ; faire des injections, où il n'y aura rien d'âcre et d'astringent, mais où l'on mêlera, entre les substances émollientes, celles qui paraîtront convenir. Prenez de la graine de lin et de sureau, broyez, mêlez dans du miel, et faites-en un médicament dont vous vous servirez de la sorte : Lavez à l'eau chaude, et, prenant une éponge ou de la laine molle que vous tremperez dans l'eau chaude, nettoyez les parties génitales et les ulcérations, puis, trempant l'éponge ou la laine dans du vin pur, servez-vous-en de même ; alors faites des onctions avec le médicament susdit, autant de fois que vous le jugerez utile. Après cela, incorporer, dans ce médicament, de la résine et de la graisse de porc, et, avec le doigt, en faire des onctions plusieurs fois le jour et la nuit. Puis, grillez de la graine de lin, pilez et tamisez, pilez du pavot blanc dans de la farine d'orge et tamisez, faites griller du fromage de chèvre dont vous aurez ôté l'ordure et la saumure, mêlez du beurre et de la fine farine d'orge, prenez partie égale du médicament, du fromage et de la farine, et donnez à boire de grand matin, à jeun, dans du vin astringent coupé ; le soir, mêlant un cycéon épais, le donner ; et, parmi les potions destinées aux femmes, administrer celles qui vont

ὀπτᾶν τυρὸν D. – ῥυποεν (sic) θ. — [10] πικρὸν vulg. – πιηρὸν Coray, Mus. Oxon. Consp. p. 19. – πικέριον θ. – συμμίξας (ξ. CDFIHK) vulg. – συμμίξαι θ. – πάλιν DFGIJKθ, Ald., Frob., Cordæus. – ἄλφιτον K. – εἶτα.... ἀλφίτου om. (DH. restit. al. manu) FGIJ. — [11] ἀλφίτων sine τοῦ θ. – ποιῆσαι καὶ θ. – ποιῆσαι καὶ om. vulg. – ἠοῦς K. – νῆστι ἐπ' θ. — [12] τὸ γυναικεῖον vulg. – τῶν γυναικείων Cθ, Lind. – πολὺ vulg. – πουλὺ CDH. – ῥαίη θ. – ὀξέαι θ. – ὀξεῖαι vulg. – ἔχωσι.... ὀδύναι om. C. – διαλίπωσι vulg. – διαλείπωσι θ. – τοιαῦτα θ.

ῥέῃ, καὶ ὀδύναι ὀξέαι ἔχωσι καὶ ὀλίγον χρόνον διαλείπωσι, ταῦτα ποιέειν· ἐπὴν δὲ τὸ ἕλκος [1] ἔλασσον ᾖ, καὶ ὀδύναι βληχραὶ προσλαμβάνωσι [2] καὶ διὰ πλέονος χρόνου, φάρμακα πιπίσκειν, ὑφ' ὧν μέλλλει καθαίρεσθαι κάτω μᾶλλον ἢ ἄνω, διαλείπων χρόνον ὁκόσον ἂν δοκέῃ καιρὸς εἶναι· καὶ πυριῆν [3] βληχρῇσι πυρίῃσιν, ἀνακαθίζοντα ὑψόθι, ἣν δοκέῃ ἑκάστοτε καιρὸς εἶναι. Ταῦτα ποιέουσα ὑγιὴς γίνεται· ἡ δὲ νοῦσος βληχροτέρη καὶ θανατώδης, [4] καὶ διαφεύγουσιν αὐτὴν παῦραι.

65. Ἢν [5] δὲ ἑλκωθέωσι σφοδρῶς, αἷμα καὶ πῦον καθαίρεται, καὶ ὀδμὴ γίνεται βαρέη, καὶ ὁκόταν ἡ ὀδύνη προσλάβῃ, ὡς ὑπὸ ὠδῖνος τὸ πλῆθος τὰ περὶ τὸν ῥόον γίνεται, καὶ [6] ὁκόταν ὁ χρόνος ᾖ, τὰ σκέλεα καὶ οἱ πόδες οἰδέουσι, καὶ ἰῶνται οἱ ἰητροὶ ὡς ὕδρωπα· τὸ δὲ οὐ τοῖον. Ταύτην ἣν λάβῃς, [7] λούειν πρῶτα θερμῷ, καὶ χλιαίνειν, καὶ κλύζειν δριμέσι καὶ μαλθακοῖσι καὶ στρυφνοῖσιν, ὕδατί τε καὶ οἴνῳ· καὶ πουλύκαρπον καὶ πουλύκνημον καὶ μέλι ἑψῶν ὁμοῦ, εἶτα εἴριον ἐς τοῦτο βάπτων, διαχρίειν τὰ αἰδοῖα, καὶ [8] ῥητίνην καὶ μέλι καὶ συὸς ἔλαιον ἐγχρίειν· καὶ πιπίσκειν λίνου καρπὸν, καὶ σήσαμον φώξας καὶ βούτυρον καὶ τυρὸν αἴγειον καὶ ἄλφιτον ἐφ' ἅπασι πιπίσκειν ἐν οἴνῳ νῆστιν, [9] ἐς ἑσπέρην δὲ μέλι ἐπιχέων πουλύ· καὶ ἕως μὲν ἂν τὸ αἷμα καθαίρηται, καὶ ὀδύναι ὀξέαι ἔχωσι, καὶ ὀλίγον διαλείπωσι, τοῦτο ποιέειν· ὅταν δέ [10] οἱ ἔλασσον ἴῃ καὶ ὀδύναι βληχρότεραι ἴσχωσι διὰ πλέονος χρόνου, φάρμακον πιπίσκειν κάτω, καὶ διαλείπειν. Ταῦτα ποιέουσα, ὑγιὴς γίνεται· γενεὴ δὲ οὐκ ἔτι.

[1] Ἐλάσσων θ. – Post ᾖ addit ἄνω θ. – λαμβάνωσι Cθ. — [2] Ante καὶ addit κάτω θ. – πλείονος CJ. – διαλείπειν vulg. – διαλιπὼν C. – διαλείπων θ. – ὁπόσον θ. – ἐπίκαιρος (καιρὸς, D al. manu ἐπίκ., FGIJKθ) vulg. — [3] βληχροῖσι FGHI. – πυριῇσι G. – ἀνακαθίζοντι ὑψωθείην δοκέῃ θ. – ὑψῶθι G. – ἑκάστοθι vulg. – ἑκάστοτε θ. — [4] καὶ om. θ. – καὶ ὀλίγαι δ. αὐ. J. – ὀλίγαι αὐτὴν DFG (H, in marg. παῦραι) IK. – ὀλίγαι Q'. — [5] δὲ om. θ. – ἑλκωθῶσι vulg. – ἑλκωθέωσι Cθ. – γίν. om. C. – βαρεῖα vulg. – βαρεία I. – βαρείη DJ. – βαρέη θ. – ὁπόταν θ. – Ante ἡ addit ὁ χρόνος Ald. – προσβάλῃ C. – τὸ πλῆθος θ. – τὸ πλ. om. vulg. — [6] ὅταν θ. – ἢ pro ᾖ C. – οἰδεῦσι C. – ἰῶν. τοῦτο (τοῦτο om. Cθ) οἱ vulg. – ὕδροπα FIK. – οὐκ ἔστι τοιοῦτον vulg. – οὐ τοῖον Cθ. — [7] λούην F. – πρ. om. Cθ. – πολύκαρπον καὶ πολύκν. vulg. – πουλύκαρπον καὶ πουλύκν. C. – Gal. Gl. : πολύκαρπον, τὸ κραταιόγονον ὀνομαζόμενον. – ἑψεῖν K. – εἰρίων C. – εἰς vulg. – ἐς Jθ. — [8] ῥιτ. FGI. – λίνου.... πιπίσκειν om. C. – σίσαμον G. – αἴγιον F. – ἐν (ἐφ' θ) ἅπασι vulg. – νῆστιν om. K. — [9] ἐς Cθ. – ἐφ'

le mieux. Voilà ce qu'il faut faire, tant que le sang coule abondamment et qu'il y a des douleurs aiguës avec de courtes intermissions. Mais, quand l'ulcération diminue, que les douleurs s'adoucissent et ont de plus longues intermissions, administrer les médicaments qui évacuent par le bas plutôt que par le haut, mettant des intervalles aussi longs que le cas paraîtra l'exiger. Administrer aussi des fumigations douces, faisant asseoir haut la malade, si à chaque fois cela paraît opportun. On guérit par ces moyens. Cette maladie est plus lente, dangereuse, et peu en réchappent.

65. (*Autre cas de l'ulcération aiguë de l'utérus.*) Si la matrice est fortement ulcérée, du sang et du pus s'écoulent, une odeur désagréable s'exhale, et, quand la douleur saisit, l'écoulement cause d'ordinaire une souffrance de même caractère que celle de l'accouchement. Avec le temps, les jambes et les pieds enflent; et les médecins croient traiter une hydropisie; mais ce n'en est pas une. Si vous prenez une telle malade, laver d'abord avec l'eau chaude, fomenter, faire des injections âcres, émollientes, astringentes, avec l'eau et le vin. Prenez polycarpon (*polygonum persicaria*, L.), polycnémon (*ziziphora capitata*, L.) et miel, faites cuire ensemble; puis, y trempant de la laine, oindre les parties génitales; oindre aussi avec la résine, le miel et l'axonge. Breuvage : prenez graine de lin et sésame, grillez, ajoutez beurre, fromage de chèvre et farine d'orge, et donnez à jeun dans du vin; le soir, on y versera beaucoup de miel. Voilà ce qu'il faut faire tant que du sang est rendu, que les douleurs sont aiguës et n'ont que de courtes intermissions. Mais, quand l'écoulement est moindre et que les douleurs, moins intenses, ont de plus longues intermissions, administrer un purgatif, et mettre un intervalle. Par ces moyens, la femme guérit; mais elle n'engendre plus.

vulg. – μέλιτι vulg. – Je lis μέλι. – πολὺ θ. – ὀξεῖαι vulg. – ὀξέαι θ. – ὀλίγον χρόνον (χρ. om. θ) vulg. – διαλείπωσι DIKθ. – διαλίπωσι vulg. — [10] σοι CDFGHIJKθ. – ἢ θ. – βληχρώτεραι K. – πλείονος vulg. – πλέονος θ. – διαλιπεῖν vulg. – διαλείπειν θ. – ποιεῦσα C. – γίγνεται C. – ἐνεῖ (sic) C.

66. Ὅσα[1] δὲ ἑλκώματα γίνεται ἐν τῇσιν ὑστέρῃσιν απο τρωσμοῦ ἢ ὑπ' ἄλλου τινὸς, ταῦτα χρὴ ἀποσκεπτόμενον εἰς τὸ οὖλον σῶμα θεραπεύειν πάντα, [2]ὁκοίῃς ἂν δοκέῃ δέεσθαι θεραπείης, ἤν τέ σοι δοκέῃ ἐξ ἅπαντος τοῦ σώματος ἡ ἄνθρωπος θεραπευτέη εἶναι, ἤν τε ἀπ' αὐτέων. Γνώσῃ δὲ εἰ ἀπ' αὐτέων τῶν ὑστερέων ἐστὶν [3]ὧδε· τὰ μὲν ἀπ' αὐτέων τῶν ἑλκωμάτων τὴν κάθαρσιν παρέχει πυοειδέα τε καὶ ξυνεστηκυίην, τὰ δὲ μὴ ἀπ' [4] αὐτέων λεπτήν τε καὶ ἰχωροειδέα. Ὅσα μὲν οὖν ἐστι λεπτὰ τῶν ῥευμάτων, ταύτας μὲν χρὴ [5]θεραπεύειν ἐν φαρμάκῳ, καὶ διδόναι καὶ ἄνω καὶ κάτω, πρῶτον δὲ ἄνω· καὶ ἢν μὲν [6]μετὰ τὴν φαρμακείην τὰ ῥεύματα ἐλάσσω γίνηται καὶ εὐπετέστερα [7]ῇ, διαλείποντα αὖθις φαρμακεύειν τὸν αὐτὸν τρόπον· μετὰ δὲ τὴν φαρμακείην διαιτῆν διαίτῃ τοιαύτῃ, ἐν ὁποίῃ ἂν εἴη μάλιστα ξηροτάτη ἡ ἄνθρωπος· ἔσται [8]δὲ, ἢν αὐτὴν πυριῇς δι' ἡμέρης τρίτης ἢ τετάρτης ὅλον τὸ σῶμα, καὶ ἐμέτους ποιέῃς ἐκ τῶν [9]πυριέων εὐθύς· μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰς πυρίας διαιτῆν ἀλουσίῃσί τε καὶ ὀλιγοποσίῃσι [10]καὶ ἀρτοσιτίῃσιν· ποτῷ δὲ μηδενὶ ἀλλ' ἢ οἴνῳ ἀκρήτῳ μέλανι, λαχάνῳ δὲ μηδενί· ὅταν [11]δὲ τὸν ἔμετο παρασκευάζῃς, τότε χρὴ λαχάνων πολλῶν καὶ δριμέων ἐμπιπλάνα καὶ σιτίων πολλῶν καὶ ὄψου ὁκοίου [12]ἂν βούλωνται, καὶ οἴνου πολλοῦ ἐμπιπλάναι ὑδαρέος, καὶ λούειν ἐκ τῶν πυριῶν πολλῷ θερμῷ. Αὕτη μὲν [13] ἡ θεραπείη τῶν τοιουτοτρόπων ῥευμάτων· ἄμεινον δὲ ἄμφω φαρμακεύειν, καὶ ἐμέειν καὶ ἄνω ἕλκειν· δίαιτα δὲ ξηραντικὴ κρέσσων [14]καὶ ἀλουσίη. Τὰς δὲ ὑστέρας χρὴ θεραπεύειν ὧδε· πρῶτα

[1] Δ' θ. – ἑλκύσματα LQ', Vatic. Codd. ap. Foes, Ald. – γίνονται C. – ὑπ' om. C. – ἀλλωτοῦ (sic) C. – ἄλλου του θ. – Ante χρὴ addunt δὲ Cθ. – ὅλον vulg. – οὖλον C. — [2] ὁποίης DFGHIKθ. – ὁκόσ' ἂν C. – δεῖσθαι θ. – θεραπευταίη Cθ. – ἤν τε ἀπ' αὐτέων εἴη τῶν ὑστερέων θ. — [3] ὧδε θ. – ὧδε om. ulg. – αὐτῶν vulg. – αὐτέων θ. – ἑλκεωμάτων (sic) C. – πυωειδέα J. – ποιοίδεα (sic) θ. – ξυνεστηκύην C. – ξυνεστηκυῖαν θ. — [4] αὐτῶν C. – ἰχωρώδεα (. — [5] φαρμακεύειν πρῶτον pro θεραπεύειν.... διδόναι Cθ. – Post διδόναι adunt πρῶτον DFGHIJK. — [6] κατὰ C. – γίνεται vulg. – γίγνεται C. – γίνηται DFHKθ. — [7] ἢ vulg. – ῇ Cθ. – διαλιπόντα C. – δὲ om. C. – διαιτᾷν vulg. – διαιτῆν C. – ὁποία C. – εἴη om. GJ, Ald. – ξηροτέρη θ. – ξηρότητος, al. manu ξηρσάτη D. – ξηρότητι K. – ἡ om. θ. — [8] δ' C. – πυριαις (sic) θ. — [9] πυριῶν vılg. – πυριέων C. – διαιταν (sic) θ. – ἀλουσίη C. – ὑδροποσίῃσι vulg. – ὀλιγοτοσίη C. – ὀλιγοποσίησι Hθ. — [10] καὶ om. C. – ὀψῷ δὲ vulg. – Je lis ποτῷ. – δὲ om. θ. — [11] δὲ θ. – δὲ om. vulg. – Post τότε addit δὲ θ. – χρείην (χρείαν DFGHJK) ἔχῃς (ἔχεις DFHIJK, Cordæus) vulg. – χρὴ Cθ. – ἐμπιπλᾶναι I. –

66. (*Distinction entre les ulcérations utérines qui proviennent de l'utérus même, et celles qui proviennent de l'état général du corps.*) Toutes les ulcérations qui se forment dans la matrice à la suite de l'avortement ou par toute autre cause, doivent être traitées en ayant l'œil sur le corps entier, suivant la cure qui est nécessaire, soit que vous jugiez nécessaire de vous occuper de tout le corps, soit de l'utérus seulement. Voici comment vous connaîtrez que le mal provient du seul utérus : les ulcérations naissant de l'utérus fournissent un écoulement purulent et consistant; celles qui n'en naissent pas, un écoulement ténu et ichoreux. Ceux donc des écoulements qui sont ténus doivent être traités à l'aide des évacuants et par haut et par bas, et d'abord par haut. Si, après l'évacuation, l'écoulement devient moindre et plus doux, mettre un intervalle et évacuer de nouveau de la même façon. Après l'évacuation, prescrire le régime par lequel la malade sera le plus sèche; or, elle le sera, si vous prescrivez une fumigation générale tous les trois ou quatre jours, et le vomissement immédiatement après la fumigation. Après les vomissements et les fumigations, mettre dans le régime l'abstinence des bains, peu boire, et l'usage du pain; point d'autre boisson que du vin noir pur; aucun herbage. Quand vous préparez le vomissement, alors il faut gorger d'herbages âcres, d'aliments de céréales copieux et de tous les plats qui seront au gré de la malade; la remplir de beaucoup de vin aqueux, et laver, après les fumigations, avec beaucoup d'eau chaude. Tel est le traitement d'écoulements de ce genre. Ce qui importe, c'est d'évacuer par les deux voies, et de faire vomir et d'attirer par le haut; ce qui importe encore, c'est un régime desséchant et l'abstinence de bains. Quant à la matrice, il faut traiter ainsi : d'abord fu-

ἐμπιπλᾶναι (bis) θ. – ὁποίου θ. — [12] ἦν C. – ἐμπιπλᾶναι Gl. – ὑδαρέως C. – πυρίων (sic) Ald. — [13] ἢ om. vulg. – J'ai ajouté ἢ sans mss. – τούτων pro τῶν C. – ἄμεινον.... ἀλουσίη om. θ. – κρείσσων FHJK. — [14] καὶ om. CFHI JK, Ald. – δ' Cθ. – πρῶτον DIJθ. – πυριᾶν vulg. – πυριῆν CH. – πυριῇν I. – ἀφέψοντα Hθ. – εἰλύος θ. – σμίγματι θ, Ald. – σμήματι (bis) C.

μὲν πυριῆν ὕδατι ἀκτῆς ἀφεψῶντα τὰ φύλλα· ἔπειτα μετὰ τὴν πυρίην κλύζειν ἐκ τῆς ἰλύος τῷ σμήγματι· [1]ἢν μὲν σηπεδὼν ἐν τοῖς ἕλκεσιν ᾖ καὶ τὰ ἀπιόντα δυσώδεα, ἀκρητεστέρῳ τῷ σμήγματι· ἢν δὲ μηδὲν [2]ᾖ τοιοῦτον, ὑδαρεστέρῳ· μετὰ δὲ τὴν ἰλὺν, ὕδατι· ἐν δὲ τῷ ὕδατι [3]ἐναφεψεῖν μυρσίνην καὶ δάφνην καὶ ἐλελίσφακον· μετὰ δὲ τοῦτο οἴνῳ κλύζειν ἀκρήτῳ λευκῷ χλιαρῷ. Ὁκόταν δὲ δάκνηται ἤδη ὑπὸ τῶν κλυσμάτων, τότε ἤδη καθαρά ἐστι τὰ ἕλκεα· κλύζειν οὖν χρὴ ὑδαρεστέρῃ τῇ [4]ἰλύϊ καὶ οἴνῳ μέλανι· μετὰ δὲ τὸν οἶνον πιμελὴν ὑὸς τήξαντα νεηρὴν, ἔλαιον παραμίξαντα, [5]ἢν μὲν ᾖ, χηνὸς, [6]ἢν δὲ μὴ, ἄλλου του, μάλιστα ὄρνιθος, [7]εἰ δὲ μὴ, τὸ ἐκ τῶν ἐλαιῶν παλαιὸν, τούτῳ χλιαρῷ κλύζειν, μετὰ δὲ τῷ οἴνῳ ἐς ἕτερον κλυστῆρα ἐγχέαντα· ἐς δὲ τὸ στόμα, κἢν ᾖ εἱλκωμένον, κἢν μὴ, μοτοὺς [8]ποιεῦντα τῶν μαλθακτηρίων προστιθέναι, καὶ [9]ἢν καῦμα παρέχωσι προσκείμενοι, ἀφελομένην τὴν γυναῖκα κελεύειν νίψασθαι ὕδατι χλιαρῷ τοιούτῳ οἵῳ περ ἐκλύζετο. Ἢν δὲ πρὸς [10]τὴν δίαιταν τήνδε τὰ ῥεύματα μὴ ἀπαλλάσσηται, ἐλάσσω [11]δὲ γίνηται καὶ δάκνηται σφοδρῶς, καὶ τὰ ἀποῤῥέοντα χολή τε εἴη καὶ ἅλμη, καὶ μὴ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ ἔξω [12]ἑλκοῖ, μεταβάλλειν χρὴ τὴν δίαιταν, καὶ ἐξυγραίνειν πᾶσαν, ὅκως τὰ ῥεύματα ὡς ὑδαρέστατα ἔσται καὶ ἥκιστα δηκτικὰ, λουτροῖσι [13]θερμοῖσι πουλλοῖσι, μάζῃ, λαχάνοισιν ἑφθοῖσι πᾶσι λιπαροῖσιν, ἰχθύσι τοῖσι σελάχεσι, [14]σὺν κρομύοισι καὶ κορίοισιν ἕψοντα ἐν ἅλμῃ γλυκείῃ, ἕψειν δὲ λιπαρῶς, κρέασιν ἑφθοῖσι πᾶσι, πλὴν βοὸς [15]καὶ αἰγὸς, διέφθοισιν ἐν ἀνήθοισι καὶ μαράθροισιν, οἴνῳ

[1] Ἐὰν θ. – δὲ μηδὲν pro μὲν J. – ᾖ om. θ. – ἀκρατ. J. – σμίγματι G, Ald. — [2] ἢ θ. – ᾖ om. vulg. – τοιούτω C. — [3] ἐναφέρειν C. – καὶ δάφνην θ. – καὶ δ. om. vulg. – χλιηρῶ CD. – τὰ ἕλκεα ἔστι θ. — [4] ἰλύη H. – καὶ om. DFGHIJK. – πιμενὴν (sic) C. – πειμελὴν θ. – νεαρὰν θ. — [5] ἐὰν θ. — [6] ἤν.... ὄρνιθος om. θ. – ἀλλ' οὗτου (sic) K. – τοῦ FGI. — [7] ἢν J. – ἐλαίων HI. – ἐλάων (sic) C. – χλιηρῶ C. – τὸν οἶνον vulg. – τῶ οἴνω θ. – ἐγχέαντα (ἐγχέαντι C; ἐγχέοντα D) ἐς (εἰς J) τὸ στόμα, καὶ ἢν μὴ (μὴ om. Cordæus; ᾖ pro μὴ Foes in not., Lind.) ἑλκώμενα (ἑλκούμενα Cordæus; ἑλκούμενον Foes in not.; ἡλκωμένα Lind.), μοτοὺς vulg. – ἐγχέαντα· ἐς δὲ τὸ στόμα κἢν ᾖ εἱλκωμένον, κἢν μὴ μοτοὺς θ. — [8] ποιοῦντας vulg. – ποιεῦντας C. – ποιοῦντα Cordæus, Lind. – μαλακτ. C. — [9] ἐὰν θ. – τὴν γ. om. Cθ. – κελεύειν αὐτῇ (αὐ. om. Cθ) νίψ. vulg. – χλιηρῶ C. – ὥπερ C. — [10] τὴν om. C. – τὴν δὲ F, Ald. – τήνδε om. Cθ. — [11] δὴ pro δὲ DHK. – γένηται vulg. – γίνεται DFGHK. – γίνηται Jθ, Ald. – διάκνηται (sic) θ. – δύνεται (sic) K. – δάκνεται D. – σφόδρα θ. – ἀπορέοντα

migations avec l'eau de feuilles de sureau bouillies; puis, après la fumigation, injection avec la lie de l'onguent à frotter; si la pourriture est dans les ulcérations et que l'écoulement soit fétide, l'onguent sera moins mélangé d'eau; s'il n'y a rien de tel, il le sera davantage; après la lie, l'injection se fera avec l'eau; dans l'eau, on aura fait bouillir du myrte, du laurier et de la sauge; après cela, injection avec du vin blanc pur, tiède. Quand les injections commencent à faire éprouver une sensation mordicante, c'est que les ulcérations se mondifient, il faut donc faire les injections avec la lie plus coupée d'eau et le vin noir. Après le vin, faire fondre de la graisse fraîche de porc, ajouter de la graisse d'oie, si on en a, sinon, toute autre graisse de volaille, sinon encore, de la vieille huile, et injecter tiède. Après cela, faire une autre injection avec du vin. Quant à l'orifice utérin, qu'il soit ulcéré ou non, appliquer des tentes émollientes; si cette application cause de la chaleur, la femme les ôtera et se nettoiera avec l'eau tiède qui lui servait aux injections. Si, par ce régime, l'écoulement ne cesse pas, mais devient moins copieux et irrite fortement, et que la matière en soit de la bile et de la saumure, ulcérant les parties non-seulement intérieures, mais encore extérieures, il faut changer le régime et humecter le corps entier, de manière que l'écoulement soit aussi aqueux et aussi peu irritant que possible : beaucoup de bains chauds, polenta, herbages bouillis tous au gras, poissons cartilagineux cuits avec des poireaux et de la coriandre dans de la saumure douce et de la graisse, toutes viandes bouillies, excepté le bœuf et la chèvre, très-cuites, dans de l'aneth et du fenouil,

K. — [12] ἑλκέοι (sic) C. – ἐξυγράνειν (sic) FH. – Ante πᾶσαν addit δὲ θ. – ὅπως θ. – ὑδαρέστερα DFI. – ὑδάρεστα (sic) G. – εἶναι pro ἔσται K. — [13] πολλοῖσι θερ. J. – πουλλοῖσι G, Ald., Frob. – πολλ. vulg. – πᾶσι om. J. – ἰχθῦσι Kθ. – τοῖς ἐλάχεσιν (sic) C. — [14] ἐν (σὺν θ) κρομύ. (κρομμύ. DJKθ, Frob.) vulg. – σκορόδοισι pro κορίοισι θ. – ἑψόντα (sic) HIθ. – ἑψῶντα K. – γλ., ἑψ. δὲ λιπ. om. θ. – ἑψεῖν om. C. – λιπαρὰ C. — [15] καὶ αἰγὸς (καὶ αἰ. om. θ), τούτοισι γὰρ (τ. γὰρ om. Cθ) διέφθοισιν (διεφθ. om. θ) vulg. – ἀννήθοισι FI. – ἀνίθοισι CHJ. – μαράθοισιν CFGHIJKθ, Ald.

[1] μελιχρόῳ, κιῤῥῷ, ὑδαρεῖ, πλέονι, γαλακτοποσίῃ μετ' οἴνου γλυκέος· τὰ δ' ἄλλα περὶ τῶν κλυσμάτων ποιέειν κατὰ τὸν ὑφηγημένον λόγον. Αὕτη μὲν νῦν τῶν τοιούτων ἡ θεραπείη. Ὅσα [2] δὲ πυοειδέα τε καὶ ξυνεστεῶτα ἄπεισι, τούτων τὸ μὲν οὖλον σῶμα οὐδὲν δεῖ κινέειν, [3] κλύζειν δὲ καὶ ἀπὸ τούτων τὴν θεραπείην πᾶσαν ποιέεσθαι, κλύζειν δὲ τοῖσιν αὐτέοισι κλύσμασιν οἷσι πρόσθεν εἴρηται τὸν αὐτὸν τρόπον. Γεγράψεται δὲ καὶ ἄλλα κλύσματα. [4] Ἑλκέων ἴησις· ἐλάφου στέαρ χλωρὸν προσθετόν· κλύζειν δὲ χρὴ αὐτίκα οἴνῳ σιραίῳ, κράτιστον δὲ ψιμυθίῳ, ἢν ἕλκεα ᾖ, καὶ ἐλαίῳ ναρκισσίνῳ· σιτίοισι δὲ μαλθακωτάτοισι χρῆσθαι καὶ μὴ δριμέσιν. Ἢν [5] δὲ ῥερυπωμένα ᾖ καὶ νέμηται, [6] καὶ τὸν πελαστάτω χῶρον διακναίῃ, [7] καθαίρειν, καὶ νέην σάρκα φύειν, καὶ ἐς ὠτειλὰς ἄγειν τὴν σάρκα, ῥηϊδίως γὰρ ἀναχαλᾶται καὶ [8] κακοήθεα οὐ γίνεται, καὶ λούειν συχνῶς.

κυνθίδας ἀγρίας δύο ἀποβρέξας ἐν οἰνογάλακτι ἑφθῷ ὅσον τέσσαρας κοτύλας, μίαν ἀπηθέειν, καὶ ξυμμίσγειν ἔλαιον νακίσσινον, καὶ κλύζειν. [1]Ἄλλος κλυσμὸς, χολώδης καὶ φλεγματώδης· σικύης ἐντεριώνης ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι ποτῷ τέσσαρσι κοτύλῃσι, [2]καὶ μέλι μίξας καὶ ἔλαιον ἄνθινον, κλύζειν. [3]Φλέγμα καὶ χολὴν καθαῖρον· κόκκους κνιδίους ἑξήκοντα, μέλι τε καὶ ἔλαιον ἄνθινον μίξας, κλύζειν ἐν ὕδατι. [4]Ἢ κνῆστρον ἑψήσας ἐν ὕδατι ποτῷ ἐν πέντε κοτύλῃσιν, ἀποχέας δύο κοτύλας, ξυμμίξαι μέλι καὶ ἔλαιον ἄνθινον σὺν ναρκισσίνῳ, καὶ κλύσαι. [5]Κλυσμοὶ καθαρτήριοι· ὄλυνθοι χειμερινοὶ καυθέντες, καὶ βραχέντες ἐν ὕδατι· ἀποχέαι δὲ τὸ ὕδωρ, καὶ ἔλαιον ξυμμίσγειν, καὶ κλύζειν. καὶ μετακλύζειν σιδίοισι, κικίδι, λωτοῦ πρίσμασιν, ἐν οἴνῳ δὲ μέλανι χρὴ ἑψεῖν. Ἢ τρύγα καίων [6]χρῆσθαι σὺν ὕδατι, μετακλύζειν δὲ τοῖσι τῆς μυρσίνης φύλλοισι καὶ ῥόῳ τῇ βυρσοδεψικῇ, ἑψεῖν δὲ οἴνῳ μέλανι εὐώδει· μετακλύζειν δὲ [7]καὶ σχοίνου φύλλα καὶ ὑπερικὸν καὶ ἐλελίσφακον ἑψήσαντα σὺν οἴνῳ μέλανι εὐώδει, ἢ κράμβης ὕδατι, κἂν τῷδε ἑψεῖν λινόζωστιν, νίτρου ἐρυθροῦ ὀλίγον, καὶ κλύζειν. [8]Ἐλατηρίου ὅσον πόσις, ξὺν ναρκισσίνῳ ἐλαίῳ, ἢ ἀνθίνῳ, καὶ κλύσαι γλιαρῷ. Ἢν[9] δὲ χολώδης ᾖ, κολοκυνθίδας δύο ἀποβρέξαι ἐν γάλακτι ὀνείῳ ἑφθῷ ὅσον τέσσαρσι κοτύλῃσι, καὶ ἀπηθήσαντα κλύσαι, ξυμμῖξαι δὲ ἔλαιον ναρκίσσινον ἢ ἄνθινον. Ἢ τὸ διὰ τῆς σικύης· [10]τῆς ἐντεριώνης ὅσον παλαιστὴν ἑψεῖν ἐν ὕδατι ποτῷ τέσσαρσι κοτύλῃσι, καὶ μέλι παραχέαι, καὶ ἔλαιον ἄνθινον· οὗτος ὁ κλυσμὸς φλεγματώδει καὶ χολώδει ξυμφέρει.

[1] Ἀλ. om. C. – κλ. ponitur post φλ. Cθ. – συκίης D. – ἐντεριώνην D. – ἐντεριόνην H. — [2] καὶ om. θ. – Gal. Gl. : ἄνθινον ἔλαιον, τὸ κρίνινον καὶ ἴρινον λέγεται τὸ δὲ αὐτὸ καὶ σούσινον λέγεται. — [3] ἄλλος τοιοῦτος pro φλ. κ. χ. κ. J. – καθαίρει Cθ. – κνίδης DFGHIJK. – τε καὶ om. Cθ. — [4] κνήστρῳ sine ἢ C. – Gal. Gl. : λέγεται δὲ καὶ κνέωρον. – Ante ἀποχ. addunt καὶ Cθ. – συμμ. vulg. – ξυμμ. CDFGHIJK. Ald. – ξὺν Cθ. – σὺν vulg. – ναρκίσσω θ. – καὶ om. Cθ. — [5] κλυσμὸς καθαρτήριος DJ. – ὄλονθοι χειμέριοι θ. – καέντες Cθ. – κατεγγόμενοι (sic) pro βρ. C (θ, τεγγόμενοι). – ἀποχύσαντα τὸ ὕδ., ἔλαιον vulg. – ἀποχέαι δὲ τὸ ὕδ. καὶ ἐλ. Cθ. – Lobeck, Phryn. Ecl., p. 725, condamne l'aoriste ἀποχύσαντα. – συνμίξαι θ. – κλύειν pro κλύζειν FHIK. – μετακλ. δὲ σ., sine καὶ, Cθ. – κηκίδι C (D, al. manu). – κικιδιν (sic) θ. – ἑψῆν D. — [6] τῶ pro χρ. σὺν Cθ. – δὲ τούτοισι (τούτ. om. Cθ) τοῖσι vulg. – Ante μυρσ. addit ξὺν C. – καὶ om. Cθ. – ῥῶ C. – μυρσοδεψικῇ θ. — [7] καὶ Cθ. – καὶ om. vulg. – σχίνου DFHIKθ, Cordæus, Foes in not., Lind. – σχοίνου

de l'huile de narcisse, et injecter tiède. Autre : deux concombres sauvages, faire macérer dans quatre cotyles d'un mélange cuit de vin et de lait, en passer une cotyle, y mêler de l'huile de narcisse et injecter. Autre injection, pour la bile et le phlegme : le dedans d'une courge, un palme, faire bouillir dans quatre cotyles d'eau potable, mêler du miel et de l'huile de lis, et injecter. Autre, purgeant la pituite et la bile : grains de Cnide soixante, mêler miel et huile de lis, injecter avec l'eau. Autre : cnestron (*daphne oleoides*), faire bouillir dans cinq cotyles d'eau potable, décanter deux cotyles, mêler miel, huile de lis et huile de narcisse, injecter. Injections purgatives : figues non mûres d'hiver, grillées et macérées dans l'eau, décanter l'eau, mêler de l'huile, et injecter, puis faire une contre-injection avec l'écorce sèche de grenade, la noix de galle, la sciure de lotus, tout cela bouilli dans du vin noir. Autre : lie calcinée, s'en servir avec de l'eau; contre-injection avec les feuilles de myrte et le sumac de corroyeur, le tout bouilli dans du vin noir odorant; la contre-injection peut aussi se faire avec les feuilles de lentisque, l'hypéricon, la sauge, le tout bouilli avec du vin noir odorant; ou avec l'eau de chou, dans laquelle on fera bouillir de la mercuriale et un peu de nitre rouge. Autre : élatérion, une potion, avec huile de narcisse ou de lis, et injecter tiède. Si la femme est bilieuse, prendre deux courges, les faire macérer dans quatre cotyles de lait d'ânesse cuit, passer, injecter, après y avoir mêlé de l'huile de narcisse ou de lis. Autre, à la courge : le dedans d'une courge un palme, faire bouillir dans quatre cotyles d'eau potable, ajouter miel et huile de lis; cette injection est bonne

vulg. – ἑψῆσαι ἐν οἴνω Cθ. – λινοζῶστιν vulg. – λινόζωστιν D. – λίνου pro νίτρου J. – λίτρου θ. — [8] ἢ ἐλ. Cordæus, Foes in not. – πόσι θ. – πόσιν CD. – ξὺν C, Lind. – σὺν vulg. – ἀνηθίνω pro ἢ ἀνθ. C. – χλιαρῷ θ. – χλιηρῷ CHI. – χλιηρῶς vulg. — [9] δὲ om. θ. – κολοκυντίδας DFGHIK, Ald., Frob., Cordæus, Lind. – ὀνίω Cθ. – τέρσεσι (sic) θ. – καὶ om. Cθ. – ἀποβρέξαντα (ἀπηθήσαντα C; ἀφηθήσαντα θ) κλ. vulg. – ξυμμ. (συνμ. θ) τε (δὲ pro τε Cθ) ἐλ. vulg. – ἢ ἄνθ. om. J. — [10] τῆς θ. – τῆς om. vulg. – ἐντεριόνης H. – παλαστὴν θ. ὁ κλ. om. Cθ. – συμφ. θ.

[1] Κλύσμα ἕλκον φλέγμα· κόκκον τρίβειν καὶ τοῦ μανδραγόρου ξὺν ὕδατι.

81. Κάθαρσις παμπόλλη καὶ παντοίη ὑπὸ τούτου γίνεται· σκορόδου μώλυζαν, νίτρον, σύκου τὸ ἔνδον τὸ πῖον, ἴσον τρίψας λεῖα, ὁκόσον κικίδα ποιέειν τὸ μέγεθος, καὶ προστιθέναι. Ἢ κυμίνου [2] φύλλα ἐν οἴνῳ τρίψας, ἐν εἰρίῳ πρόσθες. Ἢ [3] γῆς λευκῆς ὅσον πόσιν. Ἢ [4] λευκὴν ῥίζαν τρίβειν λείην, καὶ μέλι ἐπιχέας καὶ ἀναζέσας, βάλανόν τε ποιήσας, προστίθει. Ἢ ὀπὸν σιλφίου [5] μετὰ σύκων μαλάσσειν, καὶ βάλανον ποιέειν· ἀγαθὸν δὲ καὶ σικύης σπέρμα τρίβειν ὁμοίως. Ἢ [6] χολὴν ταύρου καὶ νίτρον ἐρυθρὸν [7] καὶ νέτωπον [8] καὶ κυκλάμινον, τούτων ὅσον κικίδα, τῆς δὲ κυκλαμίνου πλέονα μοῖραν, μέλιτι ξυμμίξασα, ἡ θεραπευομένη προστιθέσθω. [9] Πρόσθετόν· κυκλαμίνου τὴν κεφαλὴν καθαίρειν ὕδατι, τρῖψαι, καὶ ἐς ἄχνην ἀναφορύξαντα προστιθέναι. Ἢ σμύρναν, ἅλας, κύμινον, χολὴν ταύρου [10] ξὺν μέλιτι ὁμοίως. Ἢ κόκκους [11] ἐκλέψαντα ὅσον τρεῖς ἰνδικοῦ φαρμάκου, τοῦ τῶν ὀφθαλμῶν, ὃ καλέεται πέπερι, καὶ τοῦ στρογγύλου, τρία ταῦτα λεῖα τρίβειν, καὶ οἴνῳ παλαιῷ χλιηρῷ διεὶς, βαλάνιον περὶ πτερὸν ὄρνιθος τιθέναι, καὶ ὧδε προσάγειν. Ἢ [12] τιθυμάλλου ὀπὸν μέλιτι ἀναδεύσας, ἢ σκίλλης ῥίζην ὅσον ἑξαδάκτυλον ἑλίξας δύο δακτύλους ἐν εἰρίῳ, πρόσθες. Ἢ αὐτὴν τὴν [13] σκίλλαν ἄνευ ῥίζης τρίβειν, καὶ ὡσαύτως ἑλίσσειν εἰρίῳ, εἶτα προστιθέναι.

82. Κλυσμὸς, [14] ἢν φλεγματώδης γυνὴ ᾖ· ἐλλεβόρου δύο πόσιας

[1] Φλέγμα ἄγει sine κλύσμα Cθ. – τρίβειν om. θ. – καὶ CFHIJ. – καὶ om. vulg. – κάθαρσις γὰρ (γὰρ om. Cθ) vulg. – πολλὴ θ. – παμπόλη H. – πάντοιος θ. – μόλυζαν Jθ. – In marg. μόλυζα σκόροδον τὸ ἁπλῆν τὴν κεφαλὴν ἔχον G. – λίτρου θ. – παῖον θ. – λία θ. – ὅσον Jθ. – κηκίδα C. – κικίδος J. – ποιῆσαι J. — [2] ἐν οἴνω φύλλα Cθ. – ἐν εἰρ. Cθ. – ἐν om. vulg. — [3] τῆς pro γῆς θ. — [4] Gal. Gl. : λευκὴ ῥίζα, ἡ τοῦ δρακοντίου. – λίην θ. – καὶ om. θ. – μέλιτι DKQ'. – καὶ om. Cθ. – βάλανον ποιέοντα C. – τε ποιήσας om. θ. – προστιθέναι Cθ. – τίθει DFGHIJK, Ald. — [5] σύκω sine μετὰ θ. – σικύης om. C. — [6] χολὴ vulg. – χολὴν CFGHIJK, Ald., Cordæus. – λίτρον θ. — [7] καὶ om. Cθ. — [8] καὶ θ, Lind. – καὶ om. vulg. – κηκίδα Cθ. – τοῦ pro τῆς θ. – πλείονα vulg. – πλέονα θ. – μοίραν FHIK. – συμμ. θ. – ἡ θεραπ. om. Cθ. – προστιθέναι C. – προσθεῖναι θ. — [9] πρόσθετον· κυκλ. ὁ τὴν κεφαλὴν καθαίρει θ. – τρύψαι D. – ἐς C. – εἰς vulg. – προστίθεσθαι θ. — [10] σὺν θ. — [11] ἐκλέψαν (ἐκλ. om. K) vulg. – ἐκλέψας Cordæus, Lind. – ἐκλέψαντα CDFGHIJθ, Ald. – ὅσους J. – τρὶς θ. – μηδικοῦ C (D, al. manu ἰνδικοῦ) FGHJK, Ald. – μηλικοῦ θ. – τούτων pro τοῦ τῶν θ. – τοῦ τῶν ὀφθ. om. (D, restit. al. manu) FGHIJK. – ταῦτα δὲ (δὲ om. Cθ) λεῖα (λία θ) vulg. – καὶ om. C. – ἐν pro καὶ θ. – χλιηρῷ om. θ. – περιπτε-

pour le phlegme et la bile. Injection attirant le phlegme : grain de Cnide, baie de mandragore, broyer avec de l'eau.

81. (*Formules de pessaires mondificatifs.*) Pessaire qui procure une purgation abondante et de toute nature : gousse d'ail, nître, la partie intérieure et grasse de la figue, de chaque partie égale, broyer, faire de la grosseur d'une noix de galle, et appliquer. Autre : feuilles de cumin, piler dans du vin, appliquer dans de la laine. Autre : terre blanche, la valeur d'une potion. Autre : la blanche racine (*celle du dracontion, dracunculus polyphyllus*), bien broyer, ajouter du miel, faire bouillir, former un gland et appliquer. Autre : suc de silphion, pétrir avec des figues, et faire un gland; il est bon aussi de piler semblablement la graine de courge. Autre : bile de taureau, nitre rouge, nétopon, cyclamen, prendre de chaque gros comme une noix de galle, sauf le cyclamen, dont on prendra davantage, mêler à du miel; la femme en traitement appliquera cela. Pessaire : tête de cyclamen, la laver avec de l'eau, pétrir avec du duvet, et appliquer. Autre : myrrhe, sel, cumin, bile de taureau, avec du miel, semblablement. Autre (de la Nat. de la F., § 32, p. 365) : trois grains décortiqués, médicament indien, qui est pour les yeux et qui s'appelle poivre, le grain rond, bien piler ces trois choses, humecter avec du vin vieux tiède, en faire un gland autour d'une plume, et l'introduire ainsi. Autre : suc de tithymalle, avec du miel. Autre : racine de scille, un morceau de six doigts, en enrouler deux doigts dans la laine, et appliquer. Autre : la scille même sans la racine, piler, rouler semblablement dans de la laine, puis appliquer.

82. (*Formules d'injections mondificatives.*) Injection si la

ρον (sic) θ. – πτερῷ C. – περιτιθέναι θ. — [12] τιθυμάλου DFGHI, Ald. – ἀναδεῦσαι θ. – ῥίζαν vulg. – ῥίζην D. – ἐλίξας GI, Ald., Frob., Cordæus. – τοὺς (τοὺς om. θ) δύο vulg. – ἐν om. θ. — [13] σκίλλην D. – σχῖνον pro σκ. θ. – ἑλίσ. FGIK, Frob., Cordæus. – ἐν εἰρ. D. – καὶ εἰρίῳ προστιθέναι C. – ἔπειτα θ. — [14] ἣν om. D. – ἣν δὲ θ. – φλεγματώδη J. – γυνὴ om. CJK. – γυνὴ ᾗ om. D. – ἣν pro ᾗ C. – διιέναι D. – διεῖναι θ. – κοτύλησι Cθ. – Post μίσγ. addunt οἶνον θ, Ald. – μίσγοντα, ἣν καθάρσιος δέηται, πράσα δὲ δεῖ Lind.

ἐν οἴνῳ διιέναι γλυκεῖ, ὅσον δύο κοτύλας, καὶ κλύζειν μίσγοντα. [1] Ἢν καθάρσιος δέηται, πράσα δεῖ ἑψεῖν, [2] ἢ ἀκτῆς καρπὸν, ἢ ἄννησον, λιβανωτὸν, σμύρναν, οἶνον, ταῦτα πάντα τρίβειν, καὶ τῷ χυλῷ τουτέων κλύζειν. Ἢ κράμβην ἑψήσας [3] ἐν ὕδατι, ἐν τῷ χυλῷ ταύτης ἕψει τὴν λινόζωστιν, καὶ σμικρὸν ἀποχέας ἀπόκλυζε. Ἢ κνήστρου πόσιν ἐν μέλιτι διεὶς ἐνιέναι.

83. Σκέπτεσθαι δὲ χρὴ τὰ [4] ἐπιμήνια, ἤν τε χολώδεα ἤν τε φλεγματώδεα ᾖ· ψάμμον ἐς τὸν ἥλιον ὑποβάλλειν λεπτὴν, ξηρὴν, καὶ ὅταν τὰ καταμήνια [5] ἴῃ, τοῦ αἵματος ἐπιχέαι, καὶ ἐῆν ξηρανθῆναι· καὶ ἢν μὲν χολώδεα ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται· ἢν δὲ φλεγματώδεα, οἷον μύξαι ὁρῶνται· [6] ἢν οὖν φλεγματώδεα ᾖ, κνήστρου ὅσον πόσιν διιέναι ξὺν μελικρήτου κοτύλῃ, καὶ κλύσαι.

84. Καθαρτικὸν μαλθακὸν [7] ὕδωρ ἄγει καὶ δέρματα καὶ ἰχῶρα ὕφαιμον, καὶ καταμήνια κατασπᾷ, ἢν μὴ πουλυχρόνιά ᾖ, καὶ ὑστερῶν στόμα μαλθάσσει· μύρον ναρκίσσινον καὶ κύμινον ὃ ἐσθίεται, σμύρναν τε καὶ λιβανωτὸν, ἀψίνθιον, κύπριον ἅλας, ῥόδινον ἄλειφα, τούτων τὸ ἴσον τῶν ἄλλων ἑκάστου, τοῦ δὲ ναρκισσίνου τέσσαρας μερίδας, ἐπικτένιον ὠμοῦ λίνου ξυμμίξας, πάντα τρῖψον [8] καὶ ποίησον βάλανον, περὶ πτερῷ ῥάκος λεπτὸν περιθεὶς, καταδῆσαι, καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν αἰγύπτιον, [9] καὶ προστιθέναι, καὶ ἐῆν ὅλην τὴν ἡμέρην· λουσαμένη δὲ καὶ ἀφαιρευμένη διανιζέσθω τῷ

[1] Ἢν δὲ καθάρσιος δέῃ θ. – κάθαρσις δὲ ἢ C. – δεῖ om. Cθ. — [2] καὶ pro ἢ θ. – ἄνισον CDHJ. – ἄννησον K. – λιβανωτόν τε DFGHK. – πάντα ταῦτα C. – τρίβειν, τῷ χ. τούτων κλῦζε θ. — [3] ἐν τῷ ὕδ. θ. – ἕψε θ. – λινόζωστιν D. – λινοζῶστιν vulg. – λίνου σπέρμα, νίτρον ἀποχέας, κλύζε pro σμικρὸν ἀπ. ἀπ. Lind. – κλῦζε Cθ. — [4] καταμήνια J. – φλεγμ. ᾖ (ᾖ om. C; εἴη θ)· ἢ (ἢ om. θ) ψ. vulg. – ἐς om. θ. — [5] ᾖ C. – εἴη θ. – ἐπιχέαι τοῦ αἵμ. Cθ – ἐᾶν vulg. – ἐῆν C. – χολώδης θ. – ξηραινόμενα D. – φλεγματώδη C. – φλεγματώδης θ. – ὁρῶνται om. Cθ. — [6] ἢν δὲ φύσει φλεγματώδης ᾖ θ. – φλεγματώδης CDJ. – ὅσον om. Cθ. – ποσὶ θ. – διιέναι (διεῖναι θ) καὶ (καὶ om. CHθ) σὺν (ξὺν C, Lind.) μελ. κοτ. (addit καὶ θ) κλύσαι vulg. — [7] ὃ καὶ ὕδωρ Lind. – φλέγματα pro δέρματα C. – κατασπᾷ om. θ. – ἢν καὶ (καὶ om. CDFHIKθ) μὴ πολ. (πουλ. CH; πολυχρόνιον J) vulg. – ὑστέρων vulg. – ὑστερῶν HI. – ὑστ. om. Cθ. – καὶ σμύρναν, λιβανωτὸν C. – τε καὶ om. θ. – ἀψ. κύπριον (κύπερον pro κ. L, Foes in not., Lind.) (addit ἅλας θ) ῥόδινον ἄλειφα (ἄλειφαρ D; ἄλιφα θ; ἄλ. om. C) ἄλφιτα (ἄλφ. om. θ) τούτων vulg. – τὸ om. θ. – τῶν ἄλλων om. θ. – ναρκίσσου I. – μοίρας Cθ. – ὠμολίνου CDFGHIJK, Ald. – ὠμόλινον θ. – συμμ. HJθ. – τρίψαι

femme est pituiteuse : ellébore, deux potions, délayer dans deux cotyles de vin doux, mêler et injecter. Si la femme a besoin de mondification, faire cuire des poireaux, ou baies de sureau, ou anis, encens, myrrhe, vin, broyer le tout ensemble, et injecter cette décoction. Autre : faire cuire du chou dans de l'eau, puis, dans cette décoction, faire cuire de la mercuriale, en décanter un peu, et injecter. Autre : cnestron une potion, humecter avec du miel et injecter.

83. (*Moyen de reconnaître si les règles sont pituiteuses ou bilieuses; répétition du* § 22. *Formule d'injection pour les règles pituiteuses.*) Il faut considérer si les règles sont bilieuses ou pituiteuses : prendre du sable fin, sec, le jeter au soleil, et, quand les règles vont, verser du sang dessus, et l'y laisser sécher; si les règles sont bilieuses, le sang séché sur le sable devient jaune; si elles sont pituiteuses, on y voit comme de la pituite; dans le cas donc où elles sont pituiteuses, cnestron une potion, délayer avec une cotyle d'hydromel et injecter.

84. (*Formules de pessaires purgatifs de l'utérus. On y remarquera le pessaire aux cantharides et la strangurie qu'il cause.*) Pessaire purgatif émollient, qui amène de l'eau, des peaux et une humeur sanguinolente, attire les règles si la suppression n'en est pas ancienne, et assouplit l'orifice utérin : huile de narcisse, cumin de table, myrrhe, encens, absinthe, sel de Chypre, huile de rose, de chaque partie égale, sauf l'huile de narcisse dont il y aura quatre parts, mêler de l'étoupe de lin écru, piler le tout ensemble, faire un gland, enrouler un chiffon fin autour d'une plume, attacher, tremper dans du parfum blanc d'Égypte, appliquer et laisser pendant un jour entier; ayant pris un bain et ôté le pessaire, la femme se lavera avec de l'eau parfumée. Autre : purgatif,

Cθ. — [8] καὶ om. Cθ. – ποιῆσαι δὲ Cθ. – βαλάνιον C. – περιπτερῶ I. – περιπτερω (sic) θ. – εἰς J. – ἄλιφα θ. – ἄλειφαρ D. — [9] καὶ om. DFGHIJK. – προσθεῖναι θ. – ἐὰν vulg. – ἐῆν C. – τὴν ἡμ. ὅλην DFHIJK. – ὅλην om. Cθ. – ἀφαιρουμένη vulg. – ἀφαιρεομένη θ. – ἀφαιρευμένη C.

ὕδατι τῷ εὐώδει. [1] Ἕτερον καθαρτικὸν, ὕδωρ ἄγει καὶ δέρματα καὶ μύξας καὶ ἰχῶρα ὕφαιμον· σμύρναν, ἅλας, κύμινον, χολὴν ταύρου, ταῦτα ξυμμίξας καὶ μέλιτι φυρήσας καὶ ἐς ῥάκος [2] ἐνθεὶς προσθεῖναι, ἡμέρην δὲ ὅλην ἐντίθεσθαι, εἶτα λουσαμένη καὶ ἀφελομένη διανιζέσθω ὕδατι τῷ εὐώδει. [3] Ἄλλο· ἅλες, κύμινον, χολὴν ταύρου μέλιτι ἀναφυρέειν, καὶ προστίθεσθαι, λουσαμένην, ἀφαιρεομένην, τῷ εὐώδει ὕδατι διανίζεσθαι. [4] Ἢ σίλφιον σύκῳ μῖξαι καὶ προστίθεσθαι, εἶτα διανίψαι μύρῳ ῥοδίνῳ. [5] Ἢ κόκκους ἐκλέψαντα ἑψεῖν, καὶ βάλανον ποιέειν, ἐπὴν δ' ἀφέληται, προστιθέσθω ῥόδινον. Ἢ σκόροδον [6] καὶ νίτρον ἐρυθρὸν [7] καὶ σῦκον, τούτων ἑκάστου ἴσον μίξας μέλιτι, δοῦναι προστίθεσθαι, κἄπειδὰν ἀφέληται, ἐλάφου στέαρ προστίθεσθαι, τήξας ἐν οἴνῳ. Ἢ [8] πεπέρεος κόκκους πέντε ξὺν ἐλατηρίῳ ὀλίγῳ μῖξαι, παραστάζειν δὲ γυναικὸς γάλα ἐν εἰρίῳ, ἐς μύρον ἀποβάψασα, προστίθεσθαι δὲ ἀφελομένην ὡσαύτως. Ἢ [9] σύκου τὸ πιότατον ξὺν ἐλατηρίου πόσει καὶ νίτρου ἐρυθροῦ τὸ ἴσον καὶ μέλιτος ἴσον, ὡσαύτως. Ἢ χολὴν ταύρου [10] καὶ νίτρον ἐρυθρὸν, νέτωπον, κυκλαμίνου ὅσον κικίδα ἐν μέλιτι. Ἢ χολὴν ταύρου, ἐς αἰγύπτιον ἔλαιον [11] βάψασα προστιθέσθω, καὶ ἀφελομένη, ῥοδίνῳ. Ἢ σικύης [12] τῆς μακρῆς τὴν ἐντεριώνην τὸ σπέρμα ἐξελὼν ξὺν γάλακτι γυναικὸς κουροτρόφου, καὶ σμύρναν ἄκοπτον καὶ μέλι ὀλίγον καὶ μύρον αἰγύπτιον, τρίβειν, καὶ προστιθέναι. Ἢ τὴν [13] ἐντεριώνην τῆς σικύης αὖηναι, κόψαι δὲ ἄνευ τοῦ σπέρματος καὶ μέλι ἐμβαλεῖν, καὶ ἀναζέσαι, καὶ βάλανον ποιέειν εὐμήκεα, καὶ βάπτειν ἐς ἔλαιον λευκόν. Ἢ [14] τὴν ἀγρίην κο-

[1] Ἕτ. om. Cθ. – [ὃ] ὕδωρ Lind. – συμμ. vulg. – ξυμμ. CDH. – συνμίξαι θ. – καὶ om. Cθ. – μέλιτι δὲ ἀναφυρῆσαι θ. – φυρῆσαι C. — [2] ἐνθεῖναι Cθ. – προσθ. om. Cθ. – δ' C. – ὅλην om. C. – εἶτα om. C. – λουσ. δὲ καὶ Cθ. – ἀφαιρευμένη C. – ἀφαιρεομένη θ. – ὕδατι om. C. — [3] ἄλλο om. θ. – Ante ἄλ. addunt ἢ Cθ. – ἅλας JKθ. – ἀναποιέειν θ. – λουσαμένην ἀφαιρεομένην (ἀφελουμένην sic θ) (addit δὲ θ) τῷ εὐώδει ὕδατι διανίζεσθαι Cθ. – λουσαμένην.... διανίζεσθαι om. vulg. — [4] καὶ (ἢ pro καὶ θ) σίλ. vulg. – τῷ (τῷ om. θ) σ. vulg. — [5] ἢ κ. ἐκλέψαντα, ποσί (πόσιν Lind.) τε (τε om. C) τρίψαντα (addit ἑψεῖν C) καὶ βάλανον ποιέειν. Ἢ (καὶ pro ἢ J) vulg. – ἢ κ. ἐκλέψαντα ἑψεῖν καὶ βάλανον ποιέειν, ἐπὴν δ' ἀφέληται, προστιθέσθω ῥόδινον. Ἢ θ. — [6] καὶ om. Cθ. – λίτρον θ. — [7] καὶ om. Cθ. – Post προστ. addit τὴν ἡμέρην θ. – καὶ ἐπειδὰν Cθ. — [8] πεπέρεως vulg. – πεπέρεος D. – πεπέριος θ. – σὺν vulg. – ξὺν C, Lind. – μίξαι θ. – μῖξαι om. vulg. – ἢ πέπερον pro ἐς μύρον G. – ἀποβάψασα CDFGHIJKθ, Ald. – ἀποβάψας vulg. – ποστιθέναι δὲ καὶ ἀφελεῖν vulg. – προστιθέναι (προστίθεσθαι θ) δὲ ἀφελομένην C (θ, ἀφελομένη). — [9] συκυ (sic) θ. – πιω-

amenant de l'eau, des peaux, des mucosités et un ichor sanguinolent : myrrhe, sel, cumin, bile de taureau, mélanger le tout, pétrir avec du miel, mettre dans un chiffon, et appliquer; on laissera pendant un jour entier; puis, s'étant baignée et ayant ôté le pessaire, la femme se lavera avec une eau parfumée. Autre : sel, cumin, bile de taureau, pétrir avec du miel, et appliquer; la femme se baignera, ôtera le pessaire, et se lavera avec l'eau parfumée. Autre : silphion, mêler avec des figues, appliquer; puis laver avec de l'huile de rose. Autre : grains de Cnide décortiqués, faire cuire, former un gland; et, après l'avoir ôté, appliquer de l'huile de rose. Autre : ail, nitre rouge, figue, de chaque partie égale, mêler avec du miel, appliquer; et, après avoir ôté le pessaire, appliquer de la graisse de cerf fondue dans du vin. Autre : cinq grains de poivre, mêler avec un peu d'élatérion, verser du lait de femme dans de la laine, tremper dans un parfum; après avoir ôté ce pessaire, la femme fera la même application que précédemment. Autre : la partie la plus grasse de la figue, une potion d'élatérion, autant de nitre rouge, autant de miel, faire de même. Autre : bile de taureau, nitre rouge, nétopon, cyclamen gros comme une noix de galle, dans du miel. Autre : bile de taureau, faire un pessaire, tremper dans du parfum égyptien, appliquer; après l'avoir ôté, la femme appliquera de l'huile de rose. Autre : le dedans de la courge longue, ôter les graines, mettre du lait de femme allaitant un garçon, myrrhe pure, un peu de miel, du parfum égyptien, piler, appliquer. Autre : le dedans d'une courge, sécher, ôter la graine, broyer, jeter du miel, faire bouillir, former un gland allongé, tremper dans du parfum blanc. Autre : le concombre sauvage

τατον CFGH, Ald., Frob., Cordæus. - σὺν Dθ. - λίτρου θ. — [10] καὶ om. Cθ. - λίτρου θ. - καὶ νέτ. θ. - κυκλάμινον ἴσον ὡσαύτως (ὡσ. om. CD, F restit. al. manu, IJK) κικίδα (κηκίδα C) vulg. - κυκλάμινον ἶσον, ὅσον κηκίδα Lind. - κυκλαμίνου ὅσον κηκίδα θ. — [11] βάψας προστίθεσθαι θ. — [12] τῆς om. K. - τὴν om. θ. - ἐντεριόνην DH. - σὺν vulg. - ξὺν CD, Lind. — [13] ἐντεριόνην DH. - τῆς CDFHIθ. - ἐμβαλεῖν καὶ om. Cθ. - εἰς J. — [14] τὴν κολ. τὴν ἀγρίην θ. - κολοκύνθην C.

λοκύντην ὡσαύτως· [1] καὶ ἐλατηρίου τρεῖς πόσιας ἐν σταιτὶ τρίβειν, καὶ βάλανον ποιέειν. [2] Ἄλλο ὁμοίως· κόκκους ἐκλέψας, τρῖψον ὅσον πόσιν, ἑψῆσαι, καὶ μέλι περιχέαι, καὶ προσθέσθαι, ἢ ῥόδινον ἄλειφα καὶ προσθέσθω· ὅσαι δὲ [3] βάλανον προστίθενται, ἐμπήξαντα χρὴ τὸ πτερὸν ἐς τὴν βάλανον, ἔπειτα ῥάκος περιθεῖναι λεπτὸν ἐν εἰρίῳ, βάψασα ἐς ἄλειφα αἰγύπτιον προστίθεσθαι· ἄγει δὲ μάλιστα, [4] καὶ δέρματα ἀφαιροῦνται. [5] Προσθετὰ καθαρτικὰ ἰσχυρὰ, ὕδωρ ἄγειν δυνάμενα καὶ μύξας καὶ δέρματα μᾶλλον τῶν πρόσθεν· τοῦ πεπέρεος κόκκους τέσσαρας τῶν μεγίστων, ἢ δέκα τῶν μικρῶν, ἐλατηρίου πόσει ξυμμίξας, τρῖβε λεῖα, παραστάζων γυναικὸς γάλα, καὶ μέλι ὀλίγον, ἀναφυρήσας τοῦτο, ἐς εἴριον μαλθακὸν καθαρὸν περὶ πτερὸν περιελίξας ῥάκεα, καὶ καταλαβὼν [6] προστιθέναι, ἐς λευκὸν ἄλειφα αἰγύπτιον βάπτων· προσκείσθω δὲ ἡμέρην, καὶ ἐπειδὰν ἀφέληται, προστιθέσθω τὸ στέαρ τοῦ ἐλάφου. [7] Προσθετὰ καθαρτικὰ, ἣν μὴ ποτὰ καθαίρῃ· λινόζωστιν τρίψας καὶ σμύρναν, προστιθέναι. [8] Προσθετὰ ὁμοίως καθαρτικὰ, χορία δυνάμενα ἐκβαλεῖν, καὶ καταμήνια κατασπᾷν, καὶ ἔμβρυον ἀπόπληκτον ὑπεξαγαγεῖν· κανθαρίδας πέντε ἀποτίλας καὶ τὰ πτερὰ καὶ τὰ σκέλεα καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον παραθαλάσσιον κόψας [9] τῇσι ῥίζῃσι καὶ τοῖσι φύλλοισι καὶ τὸ χλωρὸν τὸ ἔξω, τρίψας ἴσον ὄγκον καὶ σελίνου σπέρματος καὶ σηπίης ὠὰ πεντεκαίδεκα ἐν οἴνῳ γλυκεῖ κεχρημένῳ, καὶ ἐν ὕδατι θερμῷ καθιννύσθω, καὶ μελίκρητον ὑδαρὲς πινέτω καὶ οἶνον γλυκὺν καὶ [10] τοῦ τετριμμένου

[1] Καὶ om. Cθ. – ἢ pro καὶ Foes in not., Lind. – τρὶς θ. – στέατι Cθ. — [2] ἄλλος sine ὁμ. J. – καθαρτικὸν ὕδωρ ἄγει καὶ μύξας καὶ δέρματα pro ἄλ. ὁμ. Cθ. – ἐκλέψας τρεῖς (τρίψον pro τρεῖς θ), ὅσον vulg. – ποσὶ λίον pro πόσιν θ. – ἑψήσας (ἑψῆσαι Cθ), καὶ (καὶ om. D) vulg. – προσθέσθω pro προσθέσθαι Cθ. – εἶτα pro ἢ Foes in not. – ἄλιφα (bis) θ. – ἄλειφαρ (bis) D. – καὶ προσθέσθω θ. – καὶ πρ. om. vulg. — [3] βαλάνῳ C. – χρὴ πρότερον (τὸ πτερὸν pro πρ. θ) ἐς vulg. – βάψασαν J. – ἐς θ. – ἐς om. vulg. — [4] καὶ om. Cθ. – ἀφερεόμενα θ. – ἀφαιρούμενα DFGHIJK, Ald. – αἱρεόμενα C. — [5] πρόσθετα θ. – ἄγει sine δυνάμενα Cθ. – καὶ δέρματα καὶ μύξας καὶ αἱματώδεα θ. – αἱματώδεα pro δέρματα C. – καὶ αἱματώδεα δυνάμενα Vatic. Codd. ap. Foes in not. – τοῦ om. C. – πεπέρεως FGHIJ, Ald., Cordæus, Lind. – πεπέριος C. – τέσσαρας κόκκους C. – ἢ (ἢν δὲ pro ἢ C) καὶ τῶν μικρῶν, εἰ (εἰ om. C) δέοι, ἐλ. vulg. – ἢ δέκα τῶν μικρῶν, ἐλ. θ. – ποσὶ θ. – πόσιν C. – συμμ. vulg. – ξυμμ. CDHJK. – λία θ. – εἰς J. – εἰρίῳ Ald., Frob. – περιπτερὸν FHIJ. – περίπτερον Cθ. — [6] προστιθέναι σελευκον (sic) θ. – ἄλειφαρ D. – βάφων G. — [7] ἄλλο προσθετὸν pro πρ. κ. J. – προσθετὸν καθαρτικὸν DIK. – προ.... προστιθέναι ponitur ante πάσης p. 201, l. 4, Cθ. – τὰ ποτὰ CDHIJKθ. – λινοζῶστιν vulg. – λινόζωστιν D.

semblablement. Autre : élatérion, trois potions, piler dans de la graisse et faire un gland. Autre : grains de Cnide décortiqués, en piler une potion, faire cuire, verser du miel, et appliquer, ou de l'huile de rose et appliquer; toutes les fois qu'on applique un pessaire, il faut ficher la plume dedans, puis l'enrouler dans de la laine et dans un chiffon fin, tremper dans du parfum égyptien et appliquer; celui-ci est très-emménagogue et enlève les peaux. Pessaires purgatifs énergiques, capables d'attirer de l'eau, des mucosités et des peaux plus que les précédents : grains de poivre, quatre des gros, ou dix des petits, élatérion une potion, mêler, bien broyer en versant du lait de femme, ajouter un peu de miel, pétrir, enrouler avec des chiffons dans de la laine propre et molle autour d'une plume, et appliquer après avoir trempé dans le parfum blanc égyptien; ce pessaire restera en place pendant le jour, et, après l'avoir ôté, la femme appliquera la graisse de cerf. Pessaires purgatifs, si les breuvages ne purgent pas la matrice : mercuriale, myrrhe, broyer, appliquer. Pessaires semblablement purgatifs, pouvant expulser le chorion, amener les règles et faire sortir l'embryon apoplectique : cinq cantharides, ôter les ailes, les pattes et la tête, piler du tribulus marin avec les racines, les feuilles et la partie verte extérieure, avec même volume de graine d'ache et quinze œufs de sèche dans du vin doux coupé d'eau; la femme prendra un bain de siége tiède, boira de l'hydromel aqueux et du vin doux et prendra dans du vin doux une dose de cette préparation pilée

– προστιθέναι om. θ. — [8] πρόσθετον καθαρτικὸν χόρια (λοχεια sic θ) ἐκβάλλει (addit καὶ θ) καταμήνια κατασπᾶ καὶ ἔμβρυον ἐξάγει ἀπόπληκτον Cθ. – προστεθὲν ὁμοίως καθαρτικὸν χ. δυνάμενον K. – ἕτερον μᾶλλον τῶν ἄλλων pro προσθετά.... ὑπεξαγαγεῖν J. – προσθετά.... γλυκὺν p. 201, l. 4, om. D (Q', in marg. ascribitur λείπει ἐν τῷ ἑτέρῳ). – χωρία H. – καὶ κατ. κατασπᾷν om. G. – ἐκβαλεῖν pro κατασπᾷν F. – κατασπᾶσαι HI. – ἀπόπλητον (sic) G. – ἀποτείλας FGHIK, Ald., Frob., Cordæus. — [9] σὺν τῇ ῥίζῃ θ. – σιπίης FG!, Ald. – ἐν om. θ – κεκρημένα Ald. – Post κεχρ. addit [διδόναι] Lind. – καθιγνύσθω vulg. – καθιννύσθω CFGHIJ. – καθινύσθω K. – καθίννυσθαι θ, Lind. — [10] τοῦ om. θ. – αἰγίναιον C. – αἴγειον θ. – πίνειν γλυκεῖ Cθ. – σταφίδα θ. – Ante ἑψ. addit ἴσον G.

ὅσον στατῆρα αἰγιναῖον ἐν οἴνῳ γλυκεῖ πίνειν· ἐπὴν δὲ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι [1]καὶ ψύξας, διδόναι πιεῖν· ὅταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιερῷ καθήσθω, καὶ οἶνον πινέτω γλυκύν. [2]Πάσης νούσου, δυνάμενον καὶ ἀναστομῶσαι καὶ καθῆραι· σμύρναν ὀλίγην καὶ ἐλελίσφακον καὶ ἄννησον τρίψας χρῶ.

85. [3]Καθαρτικὸν δυνάμενον ἄτοκον καθῆραι, ἢν τὸ στόμα τῆς μήτρης ὀρθῶς ἔχῃ· πυριῆν βόλβιτον ξηρὸν κόψας καὶ διασήσας τέσσαρας χοίνικας, ὄξους δὲ κοτύλας δέκα, καὶ οὔρου βοείου ἕτερον τοσοῦτον, καὶ θαλάσσης κοτύλας εἴκοσι, πυριῆν δὲ [4] βληχρῇσι πουλὺν χρόνον, εἶτα λουσαμένη φάκιον πιοῦσα καὶ μέλι καὶ ὄξος ξυμμίξασα ἐμεσάτω, καὶ ῥοφέειν ἄλευρον δοῦναι, καὶ ἐπιπιεῖν οἶνον εὐώδεα παλαιὸν ἐξηθριασμένον, σίτου δὲ μὴ γευέσθω τῇ ἡμέρῃ ταύτῃ, [5]τῇ δὲ δευτέρῃ κόκκον δοῦναι κατάποτον, τῇ δὲ τρίτῃ [6] δοῦναι διουρητικὸν, ἀσταφίδας καὶ ἐρεβίνθους λευκοὺς, δύο χοίνικας τῶν ἐρεβίνθων, χοίνικα δὲ τῶν ἀσταφίδων, [7] καὶ ἐπιχέαι ὕδατος τρία ἡμίχοα, ἔπειτα ἀποχέας, πρὸς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ πίνειν, [8]καὶ τοῖσι προσθέτοισι χρέεσθαι.

86. [9] Καθαρθικὸν καταμηνίων· τὸ βόλβιτον πλάσαι οἷον σκαφίδα, φυρῆν δὲ ξυμμίσγων τῆς κυπαρίσσου τὰ πρίσματα, ξηραίνειν [10]δὲ ἐν τῷ ἡλίῳ, καὶ ἐς τοῦτο τὰ θυμιήματα ἐμβάλλειν.

[1] Καὶ om. C. – Ante ὅταν addit καὶ θ. – ἡ om. θ. – δὲ pro ἡ J. – χλιερῶ θ. – χλιηρῷ vulg. – καθίσθω CI. – γλυκὺν πινέτω Cθ. — [2] Ante πάσης addit ἕτερον J. – προσθετὸν πᾶσαν νόσον pro π. ν. J. – πάσης.... σμύρναν om. θ. – νόσου vulg. – νούσου C, Cordæus, Lind. – δυναμένης J. – δυν. om. C. – καθάραι D. – ὀπτὴν pro ὀλίγην θ. – ἄνισον CDHJ. – ἄνησον K. – χρῶ om. Cθ. — [3]καθαρτήριον Q'. – καθαρτήριον ἄτοκον δυνάμενον καθάραι D (J, καθῆραι). – δυνάμ. om. Cθ. – τῆς μ. om. Cθ. – μὴ ὀρθῶς Calvus, Cornar. – βολιτον (sic) θ. – κόψαι Ald. – διασ. ὅσον τέσσερας θ. – οὖρον βόειον D. – βοίου θ. – θαλάσσης ἅλμης (ἅλ. om. θ) κοτ. vulg. — [4] βληχροῖσι vulg. – βληχρῇσι Cθ. – βληχρῶς Foes in not. – πολὺν Dθ. – ὄξος μεμιγμένον πιοῦσα (π. erasum al. manu H).(ξυμμίξασα pro μ. π. C,θ συνμίξασα) ἐμ. vulg. – ῥυφεῖν θ. – ἐπιπίνειν K. – πάλαι J. – γεύεσθαι Cθ. – τῇ τοιαύτῃ ἡμέρῃ vulg. – τῇ ἡμέρῃ ταύτῃ C. – τὴν ἡμέρην ταύτην θ. — [5] τῇ δ. δὲ J. – δὲ om. C. – καταποτὸν C. — [6] δοῦναι om. Cθ. – διουρητικὰ K. – ἀσταφίδα θ. – καὶ om. K. – Post χοίνικας addunt ἀφ' ἑνὸς χοίνικος DFGIJK, Vatic. Codd. ap. Foes in not., Ald. – τῶν ἐρεβίνθων, χοίνικα δὲ (δὲ om. Vatic. Codd.) τῶν ἀσταφίδων C (θ, τῆς ἀσταφίδος), Vatic. Codd. ap. Foes in not. – τῶν ἐ., χ. δὲ τ. ἀ. om. vulg.

du poids d'un statère d'Égine; quand de la douleur se fait sentir, faire cuire des pois chiches blancs et des raisins secs dans de l'eau, laisser refroidir et donner à boire; quand la strangurie survient, la femme prend un bain de siége tiède et boit du vin doux. Bon pour toute maladie; bon à ouvrir l'utérus et à le purger : un peu de myrrhe, sauge, anis, piler, s'en servir.

85. (*Traitement pour mondifier, si le col utérin est bien, une femme stérile.*) Moyen cathartique pouvant mondifier une femme stérile, si l'orifice utérin est bien : bouse de vache sèche, quatre chénices, piler et tamiser, vinaigre dix cotyles, urine de bœuf autant, eau de mer vingt cotyles, avec ce mélange faire une fumigation douce pendant beaucoup de temps, puis la femme prend un bain, avale de la bouillie de lentilles où elle a mis du miel et du vinaigre, et vomit; alors elle prendra un potage de farine et boira par-dessus du vin vieux odorant qui aura été exposé au serein de la nuit; mais, de ce jour-là, elle ne goûtera pas aux aliments solides; le lendemain, elle avalera le grain de Cnide, et le surlendemain on lui administrera le diurétique ainsi composé : raisins secs et pois chiches blancs, deux chénices de pois et une de raisins secs, eau un conge et demi (*conge* = 3 litres,2), décanter, exposer au serein de la nuit, boire le lendemain, et employer les pessaires.

86. (*Fumigation emménagogue.*) Fumigation propre à faire venir les règles : bouse de vache, y mêler de la sciure de cyprès, pétrir et arranger en forme de conque, sécher au soleil, et là-dedans jeter les ingrédients fumigatoires.

— [7] ἐπιχέαι δὲ sine καὶ Cθ. – τοῦ ὕδατος θ. – ἡμίχοα C. – ἡμιχόεα vulg. – καὶ ἔπειτα Cθ. — [8] κατα (sic) pro καὶ θ. – χρῆσθαι θ. — [9] ἔγχυτον (ἐγχ. om. θ) καθ. καταμηνίων (κατ. om. θ) vulg. – τὸ CDGHIJKθ. – τὸ om. vulg. – βόλιτον θ. – βούβλητον FGIK. – βούβλιτον DJ. – βούλβιτον CH. – βόβλιτον Ald. – ὅσον vulg. – οἷον θ, Foes in not. – φυρῆν (φυρᾶν θ) δὲ καὶ (καὶ om. CDFHIθ, Ald.) ξυμμίσγειν (ξυμμίσγων CDFHJK, Ald.; συνμίσγων θ) vulg. — [10] δ' θ. – τὰ om. θ. – θυμιάματα D.

87. [1] Ἔγχυτον καθαρτικὸν, ἢν μὴ ἴῃ τὰ καταμήνια· ἀκάνθης λευκῆς [2] τὰ φύλλα τρίψας καὶ ἐξηθήσας καὶ ἐπιχλιήνας ἐγχέειν.

88. [3] Κατάχριστον καθαρτικὸν ὥστε μήτρας ἐκκαθαίρειν· πράσου σπέρμα καὶ καρδάμου τρίψας, ἐν οἴνῳ τε διεὶς καὶ γάλακτι ἑφθῷ, διαχρίειν τὴν νειαίρην γαστέρα. [4] Κατάχριστον μαλθακτήριον, ὕδωρ δὲ ἄγει καὶ μύξας καὶ δέρματα, [5] καὶ λοχεῖα φέρει, καὶ οὐχ ἑλκοῖ· σμύρνης ὡς ἀρίστης ἥμισυ, καὶ ἁλὸς χόνδρον ὁμοίως, πίσσαν ἡδυντὴν φλάσας, μίξας τε λεῖα, ἔστω δὲ [6] τὸ τῆς σμύρνης τὸ ἥμισυ τοῦ ἁλὸς καὶ τῆς πίσσης, ἐμβαλεῖν δ' ἐς ῥάκος τῆς πεφλασμένης μέγεθος ὅσον κικίδα μεγάλην· δύο δὲ ἔστω, ὡς τὸ μὲν ἡμέρης ἔχειν, τὸ [7] δὲ εὐφρόνης, ἔστ' ἂν κατατακῇ· λουέσθω δὲ θερμῷ, εἶτα ἀφαιρέουσα διανιζέσθω ὕδατι εὐώδει.

89. [8] Καθαρτικὸν ἄτοκον καθῆραι ἢν τὸ στόμα ὀρθῶς ἔχῃ· ἢν ἄτοκον θεραπεύῃς, βόλβιτον αὖον ἡλίου διασήσας ὅσον τέσσαρας χοίνικας ἀττικὰς, ὄξους δὲ κοτύλας δέκα καὶ ὀροβίου χοίνικα [9] καὶ θαλάσσης κοτύλας εἴκοσι, πυριῆσαι ἀλέα πουλὺν χρόνον· ἔπειτα φακίον ποιῆσαι, καὶ μέλι καὶ ὄξος μῖξαι, [10] καὶ ἐμεέτω, καὶ ῥοφεέτω ἄλητον, καὶ ἐπιπινέτω οἶνον εὐώδεα· σίτου δὲ μὴ ἁπτέσθω ταύτῃ τῇ ἡμέρῃ· τῇ δ' ὑστεραίῃ κόκκον δοῦναι κατάποτον· τῇ δὲ τρίτῃ διουρητικὸν, ἐὰν δὲ βούλῃ, λευκὴν σταφίδα καὶ ἐρεβίνθους

[1] Εἰς ὅμοιον πάθος (ἄλλο pro εἰς ὅ. π. D; ἄλλο ὁμοίως pro εἰς ὅ. π. HIJK; ἔγχυτον καθαρτικὸν pro εἰς ὅ. π. Cθ) vulg. – ἢν τὰ καταμήνια ἴῃ vulg. – ἢν μὴ ἴῃ τὰ κατ. θ. — [2] τὰ om. θ. – ἐξηθίσας FG. – καὶ om. DFK. – ἐπιχληίνας F. – ἐγχεῖν θ. — [3] κατάχρηστον C. – καθαίρειν vulg. – ἐκκαθαίρειν CIθ. – καὶ om. C. – καρδάμου θ. – καρδαμώμου vulg. – τε om. Cθ. – καὶ om. C. – νειέρην FHIK, Ald., Frob., Cordæus. – νιερᾶν θ. – νειαιρὴν Lind. — [4] μαλθακτήρια sine κατ. Cθ. – δὲ om. CDθ. — [5] καὶ om. C. – λοχία FJ. – φέρει om. θ. – ἑλκέοι (sic) C. – χόνδρας θ. – ἡδύτην CFK. – ἡδίστην H. – ἡδίτην (D, emend. al. manu) J. – φλάσας μὴ θλίψας λία θ. – μίξας.... πίσσης ponitur post μεγάλην, cum καὶ θλίψας pro μίξας τε, C. — [6] τὸ om. θ. – μυρσίνης pro σμ. K. – βάλλειν C. – δ' θ. – δ' om. vulg. – τε φλασμένης K. – Post πεφλ. addit πίσσης Cθ. – κηκίδα Cθ. – δ' εἶναι pro δὲ ἔστω θ. – ὡς om. Cθ. – ἡμέρας vulg. – ἡμέρης CDHθ. — [7] δ' C. – λούσθω C. – καὶ pro εἶτα Cθ. — [8] καθαρτήριον D. – καθαρτικὸν.... ἔχῃ om. θ. – καθῆραι.... ἔχῃ om. C. – Post ἔχῃ addunt τῶν μητρέων DQ', (Lind., post στόμα.) – βολιτον θ. – βολβητον FG. – βούβλιτον CD. – βούλβιτον H. – βούλβητον IK. – αὖ pro αὖον FGJ. – λιου (sic) pro ἡλίου θ. – Ante δι. addunt καὶ Cθ. – διασείσας vulg. – διασήσας CD (F, al. manu σεί) HIJK. — [9] καὶ om. FGHIJK. – ἀλέην πολύχρονον θ. – μίξας D. — [10] καὶ om. D. – ἐμείτω θ. – ῥοφέειν C. – ῥυφεῖν θ. – ἐπιπιέτω J. – ἐπιπίνειν Cθ – ἅπτεσθαι

87. (*Infusion purgative de l'utérus. L'infusion se faisait aussi ailleurs que dans l'utérus. Voy.* t. VII, p. 5, p. 162, et Livre Deuxième des Mal. § 47, p. 69. *Il est probable que l'infusion différait de l'injection par plus de consistance.*) Infusion utérine purgative, si les règles ne vont pas : épine blanche, les feuilles, piler, passer, faire tiédir, et introduire en infusion.

88. (*Formules de liniments purgatifs de la matrice.*) Liniment purgatif propre à mondifier la matrice : graine de poireau et de cardame (*erucaria aleppica*), piler, délayer avec du vin et du lait cuit, oindre le bas ventre. Liniment émollient, qui amène l'eau, les mucosités et les peaux, emporte les lochies et n'ulcère pas : demi-portion de myrrhe excellente, sel en grain autant, poix parfumée, écraser, mélanger (la myrrhe sera la moitié du sel et de la poix), jeter, dans un linge, gros comme une grosse noix de galle de cette poix ainsi préparée; on en aura deux, l'un pour le jour, l'autre pour la nuit, et il restera jusqu'à ce qu'il fonde; la femme prendra un bain chaud, puis, ôtant le pessaire, elle se lavera avec de l'eau parfumée.

89. (*Différents moyens pour guérir la stérilité. Comp. avec le* § 85.) Cathartique propre à mondifier une femme stérile, si l'orifice utérin est bien : dans le cas où vous traitez une femme stérile, faire sécher au soleil de la bouse de vache, en tamiser quatre chénices attiques, prendre vinaigre dix cotyles, farine d'ers une chénice, eau de mer vingt cotyles, et faire une fumigation abondante et prolongée, puis, ayant fait de la bouillie de lentille, où elle mêlera du miel et du vinaigre, la femme vomira, prendra en potage de la farine, et par-dessus boira du vin odorant; pendant ce jour, elle ne touchera pas aux aliments solides; le lendemain elle avalera le grain de Cnide; le surlendemain elle prendra un diurétique, celui-ci, par exemple, si vous voulez : raisins secs blancs, pois chiches

Cθ. – ἡμέρα H. – ἐὰν δὲ β. λ. om. θ. – ἐὰν δὲ λευκὸν βούλῃ σταφίδα (C, ἀστ.) DFGHIJ (K, βούλει), Ald. – ἀσταφίδα θ. – καὶ ἐπιχέας Cθ. – Post ὕδ. addit λευκοῦ C. – ἡμιχόεα vulg. – ἡμίχοα Cθ. – θῆναι C. – χρήσθω θ.

λευκοὺς δύο χοίνικας, ἐπιχέας ὕδατος τρία ἡμίχοα, ἀφελεῖν δὲ τὸ ἥμισυ, εἶτα ἐς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ πίνειν ἐκ τούτου κατ' ὀλίγον, καὶ τοῖσι προσθέτοισι χρέεσθαι. Ἢν [1] βούλῃ γυναῖκα κυῆσαι, καθῆραι αὐτὴν καὶ τὰς μήτρας, ἔπειτα δίδου ἄνηθον ἐσθίειν νήστει, καὶ οἶνον ἐπιπίνειν ἄκρητον, καὶ προστιθέναι νίτρον ἐρυθρὸν [2] καὶ κύμινον καὶ ῥητίνην μέλιτι δεύσας, ἐν ὀθονίῳ πρόσθες· καὶ ὅταν τὸ ὕδωρ [3] ἀποῤῥυῇ, τοὺς μέλανας πεσσοὺς προστιθέσθω μαλθακτήριον, καὶ τῷ ἀνδρὶ ξυνέστω. Ἢν [4] δὲ τὸ στόμα μεμύκῃ, προστιθέσθω καὶ ὀπὸν συκῆς, μέχρι ἂν ἀναστομωθῇ· καὶ ὕδατι αὐτίκα ἀπονίζεσθαι· ἴρηκος δὲ ἄφοδον τρίβειν ἐν οἴνῳ γλυκεῖ καὶ πίνειν νῆστιν, καὶ τηνικαῦτα ξυνευναζέσθω τῷ ἀνδρί. [5] Ἢ ὁκόταν τὰ καταμήνια παύηται, χηναλώπεκος ἄφοδον ἐν ῥοδίνῳ μύρῳ τρίβειν, καὶ τὸ αἰδοῖον χρίεσθαι, καὶ ξυνευνάζεσθαι.

90. [6] Ἢν ἕλκεα ᾖ δριμέα καὶ ἢν φλεγμαίνῃ, χρῶ τῷδε κλυσμῷ· χηνὸς ἔλαιον καὶ ῥητίνην μίσγε, καὶ διεὶς ὕδατι χλιαρῷ κλύσαι. Ἢ [7] μέλι, βούτυρον τῆξαι, καὶ κλύσαι. Ἢ ἐχετρώσιος ξύσαι ὅσον [8] σκαφίδα σμικρὴν καὶ σμύρνης καὶ μέλιτος ὁμοίως, ταῦτα διεῖναι ἐν οἴνῳ μέλανι εὐώδει, καὶ κλύζειν χλιαρῷ. Ἢν [9] ἑλκωθῇ ἢ φλυκταινῶν ἀνάπλεα ᾖ ἐν τῇ καθάρσει ἄκρα τὰ χείλεα, σάρκα βοὸς, ἢ πικέριον, ἢ χήνειον ἄλειφα, καὶ ἄννησον, ἢ [10] κρόκον, ἢ σποδὸν κυπρίην, τρῖψαι ταῦτα πάντα, καὶ περιαλεῖψαι τὴν σάρκα, καὶ προστίθεσθαι. Ἢν ἕλκεα γένηται καὶ [11] ὀδαξᾶται, βοὸς σάρκα, στέαρ ἐπαλείφειν, καὶ τὴν

[1] Βούλει K. – αὐτῇ θ. – ἄλητον vulg. – ἄνηθον θ. – νῆστι Cθ. – λίτρον θ. — [2] καὶ om. FGIJK. – ῥιτ. FGI, Ald. – προσθέσθω θ. — [3] ἀπορυῇ θ – πεσοὺς CD. – συνευνάσθω vulg. (DH, ξυνευνάσθω). – ξυνέστω C. – συνέστω θ. — [4] δὲ τὸ στ. om. Cθ. – σῶμα J. – μεκύνῃ (sic) θ. – δὲ καὶ ὀπὸν C. – μέχρι (μέχρις DHJK) ἐὰν (ἐὰν om. Cθ; ἂν DHJK) ἀνασ. vulg. – περινίζεσθαι θ. – ἀπονίξεσθαι C. – ἱέρηκος DH. – ἴρηκος I. – ἴρικος K. – ἱέρακος Q'. – τρίβειν ponitur post γλυκεῖ J. – ἐπ' οἴνῳ θ. – γλυκὺ H. – αὐτίκα Cθ. – συνευναζέσθω vulg. – συνευνεζέτω (sic) FI. – συνευναζέτω HJ. – ξυνευναζέτω D. – συντίνεσθαι (sic) θ. – ξυγγινέσθω C. — [5] In marg. ἕτερον κυητήριον DQ'. – ἢν pro ἢ D. – ἢ om. C. – ὅταν θ. – χηνὸς ἢ ἀλώπεκος vulg. – χηναλώπεκος Cθ. – συν. vulg. (D, ξ.). – ξυγκοιμᾶσθαι C. – συνκοιμᾶσθαι θ. — [6] πρὸς ἕλκεα κλυσμός· ἢν ἕλκεα ᾖ δριμέα, κλυσμός· ἢν φλεγμήνῃ pro ἢν.... κλυσμῷ θ. – πρὸς ἕλκεα κλυσμὸς ἢν φλεγμαίνῃ pro καὶ ἢν φλεγμ.. χρῶ τ. κ. C. – ῥιτ. FGI, Ald. – μίσγειν θ. – καὶ om. C. – χλιηρῷ vulg. – χλιαρῷ θ. — [7] μέλιτι (μέλι Cθ) β. μίξας (μ. om. Cθ) τῆξαι vulg. — [8] σκιφίδα C. – μικρὴν vulg. – σμι. CFHIK. – σμύρνην vulg. – σμύρναν J. – σμύρνης θ. – διιέναι C. – λιεῖναι (sic) θ. – χλιηρῷ

blancs, deux chénices, verser eau un conge et demi, en décanter la moitié, exposer au serein de la nuit, et le lendemain boire de cette préparation peu à la fois, et user des pessaires. Si vous voulez qu'une femme conçoive (de la Nat. de la F., § 94), la purger, elle et la matrice, puis donner de l'aneth à manger à jeun, boire du vin pur par-dessus, et appliquer nitre rouge, cumin, résine, humecter avec du miel, et mettre dans un linge; et, quand l'eau s'écoule, la femme appliquera les pessaires noirs comme émollient, et ira auprès de son mari. Si l'orifice utérin est fermé, elle appliquera du suc de figuier jusqu'à ce qu'il s'ouvre; elle se lavera aussitôt avec de l'eau. Écraser de la fiente d'épervier dans du vin doux, et boire à jeun; et alors la femme ira auprès de son mari. Autre : au moment où les règles cessent, écraser dans l'huile de rose la fiente de chénalopex, oindre les parties génitales, et aller auprès du mari.

90. (*Différentes recettes pour les ulcérations utérines. Il est parlé, dans le courant de ce paragraphe, des aphthes des parties génitales.*) Si les ulcérations sont âcres et qu'il y ait phlegmasie, employer cette injection : graisse d'oie, résine, mêler, délayer avec de l'eau tiède, injecter. Autre : miel, beurre, faire fondre, injecter. Autre : échétrosis, en racler la valeur d'une petite chême (=0 livre,009), myrrhe et miel autant, délayer dans du vin noir odorant, et injecter tiède. S'il y a (de la Nat. de la F., § 108) ulcération ou que le bord des lèvres se remplisse de phlyctènes pendant la purgation menstruelle, viande de bœuf, ou beurre, ou graisse d'oie, anis ou safran, ou spode de Chypre, broyer tout cela, en frotter la viande, et appliquer. S'il y a ulcérations et mordication, viande de bœuf, la frotter avec de la graisse, mettre

vulg. – χλιηρῶς DFGJK. – χλιαρῶ θ. — [9] ἑλκεωθῇ C. – φλυκταίνων CFIθ, Ald., Frob., Cordæus. – φλυκτένων H. – ἀνάπλεων C. – ἀνάπλεα pro ἄκρα C. – χήνιον Cθ. – ἄλειφαρ D. – ἄνησον K. – ἄνισον CDHJ. — [10] κόκκον (κρόκον C) ἢ σποδὸν (κρόκον Lind.) κυπρίην vulg. – ταῦτα τρίψαι (τρίβειν θ) πάντα Cθ. – καὶ om. C. – περιαλείψαι H. — [11] ἀναμυξᾶται FI. – ἀναμιξᾶται G. – ἀνακμάζηται DQ'. – ἀδαξᾶται CHθ, Ald. – ἀναμαξᾶται JK. – ὀδάξηται Lind. – ἐπαλίφειν θ. – ἐγκλύζειν θ.

σάρκα προστιθέναι, καὶ ἐγκλύζειν. Ἢν ῥυπαρὰ ᾖ, καὶ πυριῆν [1] συκῆς ἀπὸ ῥίζης, καὶ μετέπειτα ἄπιον ἐν γλυκεῖ πινέτω. Ἢν ἐν τοῖσιν αἰδοίοισιν [2] ἕλκεα γένηται, βόειον στέαρ ἐπαλείφειν, καὶ μυρσίνην ἐν οἴνῳ καθεψῶν διακλυζέτω τῷ οἴνῳ, ἢ ἐλαίης φύλλα καὶ βάτου καὶ ῥοιῆς· ταὐτὰ δὲ ποιέει καὶ περσέης φύλλα καὶ οἶνος πράμνιος, τὰ φύλλα τρῖψαι λεῖα, καὶ πρὸς τὰ αἰδοῖα προστιθέναι. Ἢ [3] ἀννήθου καρπὸν καὶ σελίνου τρίψας ἐπίχριε. [4] Ἢν ἀφθήσῃ τὰ αἰδοῖα, ὧδε ἰῆσθαι· σάρκα βοὸς [5] ὡσεὶ δύο παλαιστῶν μῆκος, πάχος δὲ ὡσεὶ στειλεὸς, προστιθέσθω μέχρις ἑσπέρης, τὴν δὲ νύκτα αἴρειν· τῇ δ' ὑστεραίῃ πάλιν προστίθεσθαι μέχρι μεσημβρίης, καὶ ἐπιπινέτω οἶνον γλυκὺν, μέλιτι τὸν οἶνον ξυμμίσγουσα. [6] Κλύσμα ἢν ἡλκωμέναι ἔωσιν αἱ μῆτραι καὶ [7] ἢν στραγγουρίη ἐπιλάβῃ· πράσα, ἀκτῆς καρπὸν, σέσελι, ἄννησον, λιβανωτὸν, σμύρναν, [8] καὶ οἶνον ἴσον τῷ χυλῷ τούτων, μίξας ταῦτα καὶ ἀναζέσας, ψύχειν, καὶ μετρίως κλύζειν. Ἢ [9] μέλι, βούτυρον, μυελὸν καὶ κηρὸν ἐνιέναι. [10] Ἄσσα ἐν αἰδοίῳ ἕλκεα ἔνι καὶ φύεται, φύλλα ἐλαίης καὶ βάτου καὶ κισσοῦ καὶ ῥοιῆς γλυκείης τρίβειν λεῖα, διεὶς δὲ οἴνῳ παλαιῷ, εἰρίῳ προστίθεσθαι τῇ νυκτὶ πρὸς τὰ αἰδοῖα, καὶ καταπλάσσειν [11] ἐν τούτοισιν· ὅταν δὲ ἡμέρη γένηται, εἰρύσαι, ἀφεψεῖν δὲ μύρτα ἐν οἴνῳ καὶ διακλύζεσθαι. [12] Ἢ χηνὸς ἔλαιον καὶ ῥητίνην τῆξαι, καὶ κλύσαι. Ἢ βούτυρον καὶ κέδρινον ἔλαιον, [13] μέλι παραμίσγειν σμικρὸν, καὶ κλύζειν. [14] Ἕλκεα

[1] Gal. Gl. : συκῆς, ἐν πρώτῳ τῶν γυναικείων, καὶ πυριᾷν συκῆς ἀπὸ ῥίζης, ἐν ἴσῳ τῷ σικύας, τουτέστι συκαμίνου· ὅπερ ἑτέρωθι ὥσπερ ἐξηγούμενός φησι, μορέου ῥίζης. – μετ. καὶ (καὶ om. DGHIJKθ) πίους (ἀπιους sic θ; ἀπιοῦσα DGHIJK) ἐν vulg. – Je lis ἄπιον; mais cette correction est fort incertaine. Les traducteurs mettent : deinde etiam pinguedinis aliquid ex vino dulci bibat. — [2] τὰ (τὰ om. θ) ἕλκ. vulg. – ἐγγένηται CHIθ. – βόϊον στ. ἐπαλίφειν θ. – Post ἐπ. addit ἢ χήνειον ἄλειφαρ D. – καθεψεῖν διακλῦσαι C. – ἀφεψῶν διακλῦσαι θ. – ἐλαίας vulg. – ἐλαίης Cθ. – ῥοιῆς, καὶ ὁ (ὁ om. C) οἶνος ἤτω (ἤτω om. C; ἤτοι D) πράμνιος· ταῦτα δὲ οὕτως (οὕ. om. C; οὕτω DJ) ποιέειν, περσέης (περσαίης C; περσέως J) φύλλα τοῦ δένδρου δηλάδη (τ. δ. δ. om. C) λεῖα τρῖψαι (τρ. λεῖα C) vulg. – ῥοιῆς· ταῦτα δὲ ποιέει καὶ περσέης φύλλα καὶ οἶνος πράμνιος, τὰ φύλλα τρίψαι λία θ. – Je prends la leçon de θ, y lisant ταὐτά. – τρῖψαι.... σελίνου om. K. – προστιθέναι Cθ. – τιθέναι vulg. — [3] ἀνήθου CDHθ. – ἀνίθου J. — [4] ἢν δὲ θ. – ἀφθ. D. – πῶς (ὧδε pro πῶς CHθ) δεῖ (δεῖ om. Cθ) ἰᾶσθαι (ἰῆσθαι C) vulg. — [5] ὡς (bis) Cθ. – παλαστῶν θ. – τὸ (τὸ om. Cθ) μῆκος vulg. – στειλαιὸς vulg. – στειλειὸς D. – τειχεος (sic) θ. – στειλαῖος C, Frob., Cordæus. – στελεὸς Lind. – στειλεὸς J. – τίλεος (sic) C. – προστ. om. J. – μέχρι Cθ. – δὲ om. Cθ. – οὐ χρὴ pro αἴρειν Cθ. –

la viande en pessaire, et faire une injection. Si les ulcérations sont sordides, faire une fumigation avec la racine de mûrier, puis boire une infusion de poire dans du vin doux. Si des ulcérations se forment dans les parties génitales, oindre avec de la graisse de bœuf, puis, faisant cuire du myrte dans du vin, se laver avec ce vin, ou feuilles d'olivier, de ronce et de grenadier; le même effet est produit par les feuilles du persea dans du vin de Pramne; on pile les feuilles, et on les met dans les parties génitales. Autre : graine d'aneth et d'ache, piler, oindre. Si les parties génitales ont des aphthes, traiter ainsi : chair de bœuf, de la longueur de deux palmes (*huit doigts*), de la grosseur d'un manche, l'appliquer jusqu'au soir et l'ôter la nuit; le lendemain réappliquer jusqu'à midi, et par-dessus boire du vin doux coupé de miel. Injection, quand la matrice est ulcérée et que la strangurie survient : poireaux, graine de sureau, séséli, anis, encens, myrrhe, vin en quantité égale à l'eau de ces ingrédients, mêler, faire bouillir, laisser refroidir, et faire une injection modérée. Autre : miel, beurre, moelle, cire, injecter. Toutes les fois qu'il y a et qu'il se forme des ulcérations dans les parties génitales, feuilles d'olivier, de ronce, de lierre et de grenadier doux, bien broyer, mouiller avec du vin vieux, et appliquer dans de la laine la nuit aux parties génitales, et aussi faire un cataplasme de ces feuilles; au jour, ôter, puis laver avec du vin où des baies de myrte ont bouilli. Autre : graisse d'oie, résine, faire fondre, injecter. Autre : beurre, huile de cédros, ajouter un peu de miel et in-

πινέτω Cθ. – γλυκὺν, μέλι ξυμμίσγουσα C. – γλυκὺν, ἔλαιον μίσγουσα θ. — [6] κλυσμὸς CHKθ. – ἑλκωμένα: HJQ'. – ὦσι Q'. — [7] ἢν om. Cθ. – ἄνισον CDHJ. – ἄνησον K. — [8] καὶ om. Cθ. – ἴσω D. – τούτω K. – τούτων om. Cθ. – ἀναζέσας ταῦτα θ. — [9] μέλιτι D. – μυελιον (sic) C. – καὶ om. Cθ – μηρὸν pro κηρὸν J. – ἐνιέναι (ἀνιέναι θ) καὶ χρῆσθαι (καὶ χρ. om. Cθ) vulg. — [10] ὅσα DJ. – δὲ ἐν K. – ἢ pro καὶ J. – ξυσταὶ pro φύεται C. – λία θ. – τὴν νύκτα Cθ. — [11] ἐν om. C. – τούτοις θ. – γενήσεται K. – ἢ pro γέν. Cθ. — [12] ἢν pro ἢ J. – ἢ pro καὶ K. – ῥιτ. FGI, Ald. — [13] μέλι θ. – μέλιτι vulg. – μικρὸν vulg. – σμ. θ. – κλῦσαι θ. — [14] ἄλλο addit Q'. – ἄλλο pro ἕλκεα.... ἀποξηραίνει D. – ἐν μέλιτι (στόματι pro μ. θ; μήτρησι L, Foes in not., Lind.) ἀπ. vulg. – Post ἄνθος addunt ἢ DFHIJK. – τρύψαι Ald.

ἐν στόματι ἀποξηραίνει· ἀργύρου ἄνθος ἐν οἴνῳ τρῖψαι καὶ κλύσαι. Ἢ [1] βούτυρον μετὰ μέλιτος κλύσαι. Ἢ [2] ἐχέτρωσιν καὶ σμύρναν καὶ μέλι οἴνῳ διιέναι οἰνώδει μέλανι χλιερῷ, καὶ κλύζειν τῇ ὑστεραίῃ· σχίνου δὲ φύλλα ἑψήσας ἐν ὕδατι, τουτέῳ μετακλύζειν. [3] Ἄλλο, ἢν ἑλκωθῇ τὸ στόμα τῶν μητρέων· βούτυρον, λιβανωτὸς, σμύρνη, ῥητίνη, μυελὸς ἐλάφειος, τουτέοισι κλύζειν. Ἢ [4] φακῆν ἑψεῖν ἐν ὕδατι, καὶ ἀποχέαι, ἐν τουτέῳ κλύζε. Ὅταν δὲ ὕδωρ ἐκ τῶν [5] ὑστερέων ῥέῃ καὶ ἕλκεα ᾖ καὶ δάκνηται, χηνὸς στέαρ καὶ ᾠὸν διαχρίεσθαι. Ἢ οἶος [6] στέαρ, ἢ συὸς, καὶ φακὸν ἐν οἴνῳ ἑψεῖν κεκρημένῳ ἴσον ὕδατι, τουτέῳ κλύζε· τὰ [7] δὲ ἐν τῷ αἰδοίῳ ἕλκεα οἴνῳ κατειονᾷν· ἐπιπάσσειν [8] δὲ μάνναν, βάτον, πίτυος φλοιὸν, καὶ τῷ ὕδατι τούτων νιψάσθω.

91. [9] Διεκβόλιον, ἢν ἀποθάνῃ τὸ ἔμβρυον· χαλβάνης ὅσον ἐλαίην ἐνελίξασα ἐς ὀθόνιον, [10] ἐς κέδριον ἐμβάψασα, προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. [11] Ἕτερον· κάλαμον τὸν εὐώδεα καὶ σικύης ἐντεριώνην τρῖψαι ἐν χηνείῳ στέατι· ἐπίδησον δὲ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον· καὶ σμικρὸν ἀπ' αὐτέου ἐνστάξασα, ἐς εἴριον προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης· ἐκ τούτου κατ' ὀλίγον ἔρχεται. [12] Ἄλλο· ἐρευθεδανὸν κόψας καὶ κέδρου πρίσματα, ὕδωρ τε ἐπιχέας, θὲς ἐς τὴν αἰθρίην, εἶτα πρωῒ δὸς πρὸς τὰς ἀλγηδόνας. [13] Ἄλλο· σιλφίου ὁκόσον δραχμὴν μίαν, καὶ πράσου χυλὸν ὁκόσον ὀξύβαφον, παραμί-

[1] Βούτυρος G. – Ante μετὰ addit καὶ κέδρινον ἔλαιον J. – καῦσαι FGHIJK. — [2] ἐχέτρωσι θ. – διέναι D. – διεῖναι θ. – οἴνῳ δὲ (οἰνώδει θ) μ. χλιαρῷ (χληρῷ CDH; χλιερῷ θ) vulg. – ἢ σχίνου (σχοίνου CJ) (σχίνου δὲ θ) φ. vulg. – τουτέων C. — [3] ἄλλο om. CDFGIJKθ. – ἢν.... μητρέων om. Ald. – Ante τῶν addunt πάντων GHI; πασῶν F; πᾶν K; πάνπαν θ. – Post μητρέων addit πάντων J. – Ante βού. addunt ἀρήγει Cθ. – σμύρνα CDFGIJθ. – ῥιτ. FGI, Ald. – ἐλάφιος Cθ. – τούτοισι κλῦζε θ. – τουτέοισι.... ὕδατι καὶ om. J. — [4] φακὴν vulg. – φακῆν Kθ. – ἑψῆν G, Ald. – ἀποχύσας (ἀποχέαι Cθ) τὸ ὕδωρ (τὸ ὕ. om. Cθ) ἐν (ἐν om. Cθ) τούτῳ (τουτέῳ C) κλύζειν (κλῦζε θ; κλύζε C) vulg. — [5] ὑστέρων ῥαίη θ. – ᾖ om. θ. – καὶ ante ᾠὸν om. DFGHIJK. – διαχρέεσθαι D. — [6] στ. om. Cθ. – σύιον θ. – ἢ pro καὶ K. – ἐν οἴνῳ ἑψεῖν (ἑ. ἐν οἴνῳ Kθ) καὶ (καὶ om. CKθ) κεκρημένον (κεκρημένῳ θ) ἴσον τῷ (τῷ om. C) ὕδ. τουτέῳ (τούτῳ θ) κλύζειν (κλύζε CGHIJ; κλῦζε θ) vulg. — [7] δ' θ. – τῷ om. θ. – ἕλκεα ἐν (ἐν om. Cθ) τούτῳ (τουτέῳ C; οἴνῳ θ) κατ. (καταιωνᾶν FGIK; κατοιναν sic θ) vulg. — [8] τε pro δὲ J. – τούτω Kθ. — [9] διεκ. om. DFGIJK. – διαφθόρια θ. – φθόριον H. – διαφθόριον C, Ald. – ἐναποθάνῃ θ. – τὸ ἔμβρ. om. Cθ. – ἐλέην θ. – ἐνειλίξας D. – ἐνελίξας vulg. – Lisez ἐνελίξασα. — [10] ἐς θ. – ἐς om. vulg. –

jecter. Bon pour sécher les ulcérations de l'orifice utérin : fleur d'argent (*oxyde de plomb*), broyer dans du vin, et injecter. Autre : beurre avec miel, injecter. Autre : échétrosis, myrrhe, miel, mouiller avec du vin fort, noir et tiède, et injecter le lendemain, puis faire une contre-injection avec des feuilles de lentisque bouillies dans de l'eau. Autre, si l'orifice de la matrice est ulcéré : beurre, encens, myrrhe, résine, moelle de cerf, injecter. Autre : faire bouillir des lentilles dans de l'eau, transvaser, et injecter cette eau. Quand de l'eau s'écoule de la matrice, qu'il y a des ulcérations, et qu'elles sont mordicantes, oindre avec de la graisse d'oie et un œuf. Autre : graisse de mouton ou de porc, et lentilles, faire cuire dans du vin coupé de moitié d'eau, et injecter ce vin ; les ulcérations des parties génitales seront fomentées avec du vin ; on les saupoudrera avec manne, ronce, écorce de pin, et on les lavera avec de l'eau où auront bouilli ces ingrédients.

91. (*Moyens propres à expulser l'embryon mort.*) Moyen expulsif, si l'enfant est mort : galbanum gros comme une olive, rouler dans un linge, tremper dans de l'huile de cédros, et appliquer à l'orifice utérin. Autre : calamus odorant, intérieur d'une courge, piler dans de la graisse d'oie ; attacher à l'ombilic et au bas ventre ; en faire dégoutter un peu, qu'on recevra dans de la laine et qu'on appliquera à l'orifice utérin ; par ce moyen le fœtus sort peu à peu. Autre : piler de la garance, ajouter de la sciure de cédros et de l'eau, exposer au serein de la nuit, puis, le lendemain matin, donner pour les douleurs. Autre : silphion une drachme, suc de poireau un oxybaphe, ajouter un demi petit cyathe d'huile de cédros, et

κέδριον C.– κέδρινον vulg. – κεδρίνην θ.– ἐμβάσασα (sic) J.– ἐμβάψας θ. — [11] ἔτ. om. G.– ἄλλο D.– τὸν θ.– τὸν om. vulg.– ἐντεριόνην H.– τρίψας θ.– χηνὸς Cθ.– μικρὸν ἀπ' αὐτοῦ ἐνστάξας θ.– προσθέσθω θ.– καὶ (καὶ om. Cθ) ἐκ (ἐκτὸς Q') τούτου (τοῦ pro τ. CFGIJQ'θ) (addit τὸ Q') κατ' ὀλ. ἕλκεται (ἔρχεται Cθ) vulg. — [12] ἄλλο om. FGJ.– πρίσμα K.– τε om. Cθ.– τίθει vulg.– θὲς Cθ. — [13] ἄλλο om. FG.– σιλφίη (sic) ὅσον δραχμὴ μίη K.– δραγμὴν FI.– μίην HI.– καὶ om. K.– πράσσου C.– ὅσον θ.– ὀξόβαφον FIθ.– παραμίξαν vulg. – παραμίξας CDFGHIJKθ, Ald., Lind.– μικροῦ vulg.– σμ. Cθ.– ἐκπιεῖν Cθ.

[1] Δὴ θ. – διαχειριζόμενον CHθ. – Post πνεύματα addunt αἱ μὲν γὰρ ψυχραὶ, αἱ δὲ (αἱ δὲ om. θ) ὑγραὶ καὶ ῥοώδεες, αἱ δὲ θερμαὶ μὲν (μὲν om. θ) ξηρότεραι τὲ καὶ στάσιμοί εἰσιν (H, al. manu) θ. — [2] ἢν.... ἐκπίπτουσι om., restit. al. manu D. – γένηται ἐν τ. μήτρ. C (θ, ἐγγένηται). – γένηται KL. – αἷμά οἱ ῥεῖ θ. – καὶ ἡ (ἡ om. CDHIJLθ, Lind.) ὀδ. vulg. – ἔχει θ. – εἰς C. – τὴν om. Cθ. – νειέρην FGHIK, Ald., Frob. – νειαιρὴν Lind. – νιεραν (sic) θ. — [3] θιγγανουμένη (sic) CDHIK. — [4] ἐπιγίνεται θ. – ἐγγίνεται vulg. – καὶ πάντα om. θ. – ὠμοπλάτων θ. – θέρμην FGHJKL. – ἔχει om. Cθ. – ἐρευθριᾷ, al. manu ἐρευθιᾷ D. – ἐρευθίᾳ C. – φλεβία HJ. – ἀντιτυπεύμενα θ. — [5] ἐκ τῶν τρ. DL, Lind. – τρωσμοῦ θ. – γιν. ἀπὸ (ἀπὸ om. Cθ) πολλοῦ vulg. – ῥαγῇ θ. — [6] ὁπ. θ. – ἔχει H. – ὄλονθον Cθ. – ξηρὸν L, Lind. – ὄλυνθος est ordinairement du masculin. Schneider, dans son Dict., remarque que Hippocrate, en ce passage-ci, a ξηρὴν, mais qu'un ms. donne ξηρόν. L n'est point, à proprement parler, un ms.; c'est un mélange de leçons provenant les unes de mss., les autres de conjectures. Ici on peut affirmer que c'est une correction, tous nos mss. ayant ξηρήν. – κόψαι θ. – διαττήσας C. – ἔνδησον C. – νειέρην FGHIK, Ald., Frob. – νιερὰν θ. – νειαιρὴν Lind. — [7] ᾖ C. – ἀγριοελαίης J. – ἀγριελαίου θ. – ὕδατι pro ὄξει L, Vatic. Codd. ap. Foes. – ὡς CDHIJLθ, Vatic. Codd. ap. Foes, Lind. – ὡς om. vulg. – πινέτω.... αἰδοῖα om. J. — [8] καὶ ῥοιὰν (ῥόα Foes in not., Lind.; ῥόον C, H supra lin. al. manu, θ) τὴν ἐρυθρὴν ἑψήσας (ἑψησάσα θ) ἐν ὕδατι (ὄξει pro ὕδ. Foes in not., Lind.) ὡς ὀξυτάτῳ ἀλειψάσθω τὰ αἰδοῖα (ὡς ὀξ. ἀλ. τὰ αἰδ. om. θ) ὅσον vulg. – Schneider, dans son Suppl., a une note sur ce passage même, au mot ῥοῦς : « Le

coup de sang; les âgées plus sèches et ont peu de sang; les intermédiaires tiennent le milieu, par l'action moyenne de leur âge. Celui qui veut bien conduire le traitement chez les femmes doit reconnaître en chaque cas leur constitution, les opportunités, les âges, les saisons, les lieux et les vents.

112. (*Autre métrorrhagie.*) Si un flux s'engendre dans la matrice, du sang coule en abondance, des caillots consistants s'échappent; il y a douleur aux lombes, aux flancs et au bas-ventre; la malade a le corps rigide; elle souffre si on la touche; frisson, fièvre aiguë, la faiblesse survient; douleur par tout le corps excepté aux épaules et aux omoplates; chaleur, rougeur; les veines sont dures et rénitentes. Cette maladie survient surtout à la suite de l'avortement; elle survient aussi quand les règles, supprimées pendant longtemps, font éruption tout à coup. Les choses étant ainsi, piler une figue verte sèche, tamiser, attacher dans un linge et appliquer en pessaire; sur le bas-ventre faire des applications froides, prenant

Lexique de Photius cite le ῥοῦν parmi les épices, comme tiré des poëmes de Solon. La forme ῥόα est ordinairement employée par les Grecs postérieurs pour l'accusatif du substantif ῥόος, *courant;* c'est ainsi qu'on lit dans Herodian. Epimer., p. 301, ῥοὶ ποταμοῦ, θαλάσσης, à la façon de νόος, νοῦς, νοί. De plus, le genre féminin τὴν ῥόα, leçon qui, proposée par Foes, a été adoptée par Linden, rend cette correction tout à fait invraisemblable. D'un autre côté, ῥοιὰν ἐρυθρὰν est certainement faux; car toutes les grenades sont rouges. En conséquence, il ne me reste plus d'autre conjecture que d'admettre que Galien a lu ici ῥόα τὰ ἐρυθρά. En effet, dans son Gl., on lit : ῥόα, τὰ ἐκ τῆς συκαμίνου, τὰ μόρα, ἅτινα ἄωρα ξηρανθέντα καὶ κοπέντα τοῖς ὄψοις ἐπιτάττεται, καθάπερ καὶ ὁ κυρίως ὀνομαζόμενος ῥοῦς, ὡς καὶ ὁ Διοσκουρίδης ἐν τῷ πρώτῳ περὶ ὕλης λέγει. Dioscoride, à la vérité, I, 181, n'a pas ῥόα, mais seulement τὰ δὲ ἄωρα μόρα κοπέντα ἀντὶ ῥόος τοῖς ὄψοις μίγνυται. Ce qui paraît encore parler pour la leçon ῥόα τὰ ἐρυθρὰ, c'est que Hippocrate fait aussitôt cuire ces ῥόα et les emploie en onction, tandis qu'il fait d'abord sécher, pour les broyer, les μόρα ἀπὸ βάτου, attendu que le fruit du ῥοῦς est dur et a besoin d'être préalablement broyé avant de pouvoir servir à oindre. » Depuis cette note de Schneider, il est survenu deux faits nouveaux pour le texte hippocratique, c'est d'une part la leçon ῥόον qui peut si facilement se changer en ῥοῦν, et d'autre part, l'omission, dans θ, des mots ἀλειφάσθω τὰ αἰδοῖα, omission qui fait tomber un des arguments de Schneider. Je pense donc qu'il faut accepter cette omission et lire ῥοῦν.

ὅσον ἡμικοτύλιον· ἢ μόρα τὰ ἀπὸ [1] τοῦ βάτου τὰ ἐρυθρὰ ξηρήνας, καὶ τρίψας λεῖα μετὰ ἀλήτου σητανίου μίσγων ἴσον ἴσῳ, νήστει διδόναι πίνειν· ἢν [2] δὲ θέλῃς ἰσχυρότερον, τιτάνου ξυμμίξας δύο μοίρας, ἀλήτου ἐπιβαλὼν, πῖσαι· καὶ μὴ λουέσθω· σιτίοισι δὲ χρήσθω ξηροῖσι, καὶ οἴνῳ μέλανι [3] οἰνώδει. Ἢν δὲ οἰδέῃ πεπαυμένου ἤδη τοῦ ῥόου, φάρμακον πῖσαι κάτω· μετὰ δὲ τὸ φάρμακον τὰς ὑστέρας κλύσαι τῷ ἀπὸ τῶν ὀλύνθων, καὶ μετακλύζειν στρυφνοῖσιν· ἢν ταῦτα παθοῦσα ὑγρανθῇ, θυμιήσθω ἕως ἂν ἀποξηραίνῃ.

113. Ῥόος ἐρυθρός· [4] ῥέει τοιόνδε οἷον αἷμα νεοσφαγέος, καὶ θρομβία διαλάμποντα, ἄλλοτε δὲ καὶ ῥόον ἐρυθρὸν ἐκβράσσει, καὶ [5] ἡ γαστὴρ ἡ νειαίρη ἐπαίρεται, καὶ λεπτύνεται, καὶ νηπελεῖ, καὶ σκληρύνεται, καὶ ἀλγέει ψαυομένη ὡς ἕλκεος, καὶ πῦρ ἔχει καὶ βρυγμός· ὀδύνη τε [6] ἐς αὐτὰ τὰ αἰδοῖα καὶ τὸ ἐπίσειον καὶ ἐς τὸν κενεῶνα καὶ τὰς ἰξύας καὶ τένοντα καὶ κοιλίην καὶ στῆθος, [7] καὶ τὰς ὠμοπλάτας καὶ τἄλλα πάντα ἀλγέει, καὶ ἀδυναμίη καὶ ὀλιγοψυχίη ἔχει, καὶ ὁ χρὼς τρέπεται. [8] Καταρχὰς τῆς νούσου τάδε ἐπιλαμβάνει· ἢν δὲ μηκύνῃ, ταῦτα πάντα ἐπὶ μᾶλλον ἀνθέει, καὶ δῆλος ἡ νοῦσος, καὶ τὰ κοῖλα ἐπανίσταται, καὶ οἱ πόδες οἰδέουσιν. Ἡ δὲ νοῦσος [9] λάζεται ἐκ τόκου μάλιστα, ἥν τι ἐν αὐτέῃ διακναισθὲν μὴ ἴῃ, ἀλλ' ἐνσαπῇ τε καὶ τρυχωθῇ τὸ ἔμβρυον. Ταύτῃ κατ' ἀρχὰς ἢν

[1] Τοῦ om. D. – ξηράνας (ξηρήνασα C; ξηρήνας DHIKLθ, Lind.) καὶ (καὶ om. θ) τρ. (τρίψασα C) λ. (λία θ) vulg. – σιτανίου HK. – μίσγειν Lind. — [2] δὲ om. θ. – σητανίου pro τιτάνου Cornar., Foes in not., Lind. – συμμ. θ. – ἐπιλαβὼν L, Lind. – λούσθω θ. — [3] ἐνώδει J. – εὐώδει Vatic. Codd. ap. Foes. – οἰδέοι FHI. – πεπλυμένου C. – ἢν δὴ pro ἤδη θ. – πιεῖν Cθ. – ἄνω pro κάτω C. – ὀλόνθων Cθ. – παθοῦσα om. C. – ποιοῦσα Lind. – ὑγιαίνῃ θ. – ἀποξηρηνωη (sic) θ. — [4] ῥέῃ C. – ῥεῖ θ. – νεοσφαγὲς vulg. – νεοσφαγέος θ. – θρομβοι διαλείποντες J. – διαλείποντα vulg. – διαλιπόντα θ. – διαλάμποντα CDLQ', Lind. – ῥέον pro ῥόον L. – [τὸ] ῥέον Lind. – ἐκβράσει C. – Gal. Gl. : ἐκβρήσσει, ἐκβάλλει, ἐκβράσσει. — [5] ἡ Cθ. – ἡ om. vulg. – νειέρῃ FGHIK, Ald., Frob. – νειαιρῆ Lind. – νιερὰ θ. – καὶ om. θ. – λεπτή τε γίνεται θ. – λεπτὴ γίνεται CFHIJKL, Lind. – νηνεμεῖ vulg. – ἀνεμοῖ aut ἀνεμοῦται aut ἠνεμοῦται conjicit Foes in not. – Gal. Gl. : νηπελεῖ, ἀδυνατεῖ. – Cette glose a été indiquée comme la vraie leçon par divers critiques. – σκληρύνει vulg. – σκληρύνεται θ. – ψαυομένης D — [6] ἐς (εἰς θ) ταῦτα (αὐτὰ θ, Lind.) τὰ vulg. – ἐπισειόμενον CDFGHIJKL, Ald. – ἐπίσιον θ. – τένοντας Foes in not., Lind. — [7] καὶ ἐκ τῶν ὤμων καὶ πλαστας (sic) πάντα ἀλγέει θ. – τοὺς pro τὰς C. – ἄλλα (τἄλλα DIJL, Lind.; ἄλλα om. C) vulg. – ἀλγέειν C. – λιποψυχίη LQ'θ. – λειποψυχίη DFHIJK. – ἀποψύχη (sic) C. – ὠχρὸς pro ὁ χρ. JL. – στρέφεται

garde de causer du frisson. Quand le flux est arrêté, faire cuire des feuilles d'olivier sauvage dans du vinaigre aussi fort que possible et laver les parties génitales; la malade boira, à la dose d'une demi-cotyle, une eau dans laquelle auront bouilli des pepins de raisin et du sumac rouge; ou mûres rouges de la ronce, faire sécher, piler, mêler avec partie égale de farine de blé de printemps et donner à boire à jeun; si vous voulez rendre la préparation plus énergique, ajoutez deux parties de plâtre, saupoudrez avec de la farine, et faites boire. Elle ne se baignera pas; elle usera d'aliments siccatifs et de vin noir fort. Si la malade enfle, l'écoulement étant déjà arrêté, administrer un évacuant par le bas; après cette purgation, prescrire une injection utérine avec la préparation aux figues vertes, et faire une contre-injection astringente. Dans cet état, la femme devient-elle humide, elle fera des fumigations jusqu'à ce qu'elle devienne sèche.

113. (*Autre métrorrhagie.*) Flux rouge: il est comme le sang d'un animal récemment égorgé; tantôt de petits caillots luisants et tantôt un flux rouge sont rejetés; le bas-ventre se tuméfie, s'amincit, est frappé de faiblesse, se durcit, et est douloureux au toucher comme s'il y avait une plaie; fièvre; grincement de dents; douleur aux parties génitales, au pubis, aux flancs, aux lombes, au tendon, au ventre, à la poitrine, aux omoplates et partout; adynamie, défaillance, décoloration. Au début de la maladie tels sont les accidents; quand elle se prolonge, tout s'aggrave; la maladie est apparente, le dessous des yeux se tuméfie, les pieds enflent. Cette maladie prend surtout après l'accouchement, quand l'embryon détruit ne sort pas, mais se pourrit et se consume. Si une telle malade

vulg. - τρέπεται Cθ. — [8] κατ. [μὲν] Lind. - νόσου vulg. - νούσου CDHθ, Lind. - ταῦτα pro τάδε Cθ. - ἐπιλαμβάνη Ald. - μηκύνηται θ. - τάδε Q', Lind. - ταῦτα π. om. (D, al. manu τάδε πάντα) FGHIJKL. - ἀσθενέει (ἀνθέει θ) vulg. — [9] λάζυται θ. - αὐτῇ vulg. - αὐτέῃ CDFHIJK. - διακνησθὲν vulg. - διακναισθὲν τὲ μὴ ἴῃ θ. - ᾗ C. - ἐνσάπηται (ἐνσαπῇ τε CJ; ἐνσηπη τε sic θ) καὶ τρηχυνθῇ (τρυχυνθῇ, al. manu τρυχωθῇ D; τρυχωθῇ CDKLθ, Lind.) vulg. - τὸν σπόγγον C, Ald. - τῶν σπόγγων θ.

ἐπιτυγχάνῃς, σπόγγον [1] κατατέγγοντα προστιθέναι ὁκόταν ᾖ ὀδύνη, καὶ ὀθόνιον λεῖον μαλθακὸν [2] κνηστὸν ὕδατι τέγγοντα ψυχρῷ ἐπὶ τὴν γαστέρα ἐπιβάλλειν, καὶ ὕδατι ψυχρῷ καταχεῖν, καὶ τὴν κλίνην ἀπὸ τῶν ποδῶν ὑψηλοτέρην εἶναι, καὶ στορέσαι ὧδε· καὶ τῶν γυναικείων πειρώμενος, ὅ τι ἂν μᾶλλον προσίηται πιπίσκειν· τοῦ σελίνου τὸν [3] καρπὸν κόψαι καὶ φῶσαι σήσαντα, [4] καὶ ἐρύσιμον ὡσαύτως καὶ μήκωνος καρπὸν ξὺν ἀλφίτοισι σήσας, καὶ κνίδης [5] καρπὸν ὡσαύτως· καὶ τῆς ψώρας τῆς ἀπὸ ἐλαίης, καὶ κικίδα, καὶ πήγανον, καὶ ὀρίγανον, καὶ γλήχωνα ἐν ἀλφίτοισι σῆσαι καὶ φυρῆσαι, καὶ [6] κρίμνα ἀπ' ἀλφίτων ἀδρὰ φῶξαι, καὶ [7] πύανα καταλέσας, καὶ τυρὸν αἴγειον περιξύσας τὸ αἶσχος, [8] τῶν μὲν ἄλλων ἴσον ἑκάστου μίσγε, ὀριγάνου δὲ καὶ πηγάνου καὶ ψώρας καὶ κικίδος ἥμισυ, ταῦτα πίνειν νῆστιν πρωῒ πρὸ τῆς κινήσιος· κιρνάναι δὲ χρὴ καὶ ἐς χρῆσιν· ἢν δριμέα [9] ἴῃ, καὶ κυκεῶνα διδόναι, ἓν μὲν τοῦ φαρμάκου μέρος ἔστω, ἓν δὲ τοῦ τυροῦ, ἓν δὲ τῶν ἀλφίτων· ἐς ἑσπέρην δὲ τοῦ μέλιτος ξυμμίσγοντα πιπίσκειν. Καὶ ἄχρι [10] μὲν ἐν ἀρχῇ ἔχηται τῇ νούσῳ, καὶ τὸ αἷμα συχνὸν ἴῃ, καὶ διαλείπῃ ὀλίγον χρόνον, καὶ ὀδύναι ὀξεῖαι ἴσχωσι, ταῦτα χρὴ ποιέειν. Ἢν [11] δὲ τὸ αἷμα ἔλασσον ῥυῇ καὶ δι' ἐλάσσονος χρόνου, πιπίσκειν ἃ δὴ κάτω ὑποχωρέει ἢ ἄνω, καὶ πυριῆν τὰ αἰδοῖα βληχροῖσι πυριήμασιν, ὡς ἂν δοκέῃ ἑκάστοτε καιρὸς εἶναι, καὶ ζειὰς ἐρίξαντα ξὺν τοῖσι κελύφεσι, καὶ [12] ὀλύνθους ἐρινεοὺς αὐήναντα

[1] Κατέγγοντα (sic) F. – κατατέγκοντα (sic) J. – ὁπ. ἡ ὀδ. ᾗ θ. – ἡ pro ᾖ (D, al. manu ᾖ) FGHK, Ald. – λίον θ. — [2] καθεψῶν (καταξύων Cornar., Foes in not.; καταψῶν L, Lind.) vulg. – Je lis κνηστὸν, qui me paraît s'éloigner moins des mss.; mais le véritable texte reste fort douteux. – τέγγοντι FG, Ald. – τέγκοντι J. – τὴν θ. – τὴν om. vulg. – ἐπιβαλεῖν vulg. – ἐπιβάλλειν Cθ. – τῶν θ. – τῶν om. vulg. – ὑψηλοτέραν K. – πειρόμενος J. – μᾶλλον om. F. – μάλιστα θ. – ἄλλο pro μᾶλλον (D, restit. al. manu) GHIK. – ἄλλο μᾶλλον Vatic. Codd. ap Foes. — [3] καρ. φῶσαι καὶ σῆσαι καὶ κόψαι, καὶ ἐρ. vulg. – καρ. κόψαι καὶ φῶσαι σήσαντα, καὶ ἐρ. θ. — [4] καὶ om. J. – καὶ μήκ.... ὡσαύτως om. (DH, restit. al. manu) FGIJK. – σὺν vulg. – ξὺν C, Lind. – τῆσαι pro σήσας C. — [5] ἐρύσιμον pro κ. C. – Post ὡσαύτως addit καὶ μήκωνος καρπὸν ξὺν ἀλφίτοισιν ὡσαύτως C. – ψ. ἀγριελαίης (τῆς ἀπὸ ἐλαίης pro ἀγρ. θ) vulg. – κηκίδα θ. – καὶ ὀρ. om. θ. – καὶ γλ. om. K. – γλίχ. HJ. – ἀλφίτοις vulg. – ἀλφίτοισι CDθ. – στῆσαι pro σῆσαι FG, Ald. – τῆσαι C. – φυρῆξαι DFHK. – φορῆξαι G. – φορύξαι C. – φορῆσαι Ald. — [6] κρημνὰ C. – ἐπ' (ἀπ' θ) ἀλφ. vulg. – ἀδρὰ DGI. – φῶσαι CJ. — [7] πύρινα (πύρρινα K; πύανα C) κατ. vulg. – Ce qui m'engage à recevoir la leçon de C, c'est qu'à mon avis un mot aussi peu commun n'aurait pas été mis en place de πύ-

au début vous échoit, mouillez une éponge et appliquez-la quand il y a douleur; trempez dans de l'eau froide un linge fin, souple et raclé et mettez-le sur le ventre; faites des affusions froides; disposez le lit de manière qu'il soit plus haut du côté des pieds; essayez et donnez à boire, parmi les préparations pour les femmes, celles qui sont le mieux reçues : graine d'ache, griller, piler, tamiser; érysimon (*sisymbrium polyceratium*), de même; graine de pavot avec du gruau d'orge, tamiser, et graine d'ortie de même; galle d'olivier, noix de galle, rue, origan, pouliot, avec farine d'orge, tamiser, pétrir; et gros gruau d'orge grillé, pyane (*mélange de légumes à gousse et de grain*) moulu, fromage de chèvre dont on a raclé l'ordure; de chaque partie égale, sauf l'origan, la rue, la galle d'olivier et la noix de galle, dont on ne met que demi-part; donner cela à boire le matin à jeun avant aucun mouvement; il faut agiter avant de s'en servir; si l'écoulement est âcre, on donne un cycéon ainsi composé : une partie de la préparation ci-dessus, une partie de fromage, une de farine d'orge; pour le soir on ajoute du miel. Tant que la maladie est au début, que le sang coule en abondance et ne s'interrompt que pour peu de temps, et qu'il y a des douleurs aiguës, voilà ce qu'il faut faire. Si le sang coule moins abondamment et pendant moins de temps, faire boire ce qui évacue par le bas ou par le haut; et faire sur les parties génitales de douces fomentations choisies chaque fois suivant la circonstance; piler de l'épeautre avec la balle, faire sécher des figues sauvages vertes, les piler, les

ρινα par un copiste. – περιξέσαντα vulg. – περιξύσας θ. — [8] καὶ (καὶ om. θ) τῶν vulg. – ἴσων J. – ὀρίγανον δὲ καὶ πήγανον vulg. – ὀριγάνου δὲ καὶ πηγάνου θ. – καὶ κιν.... κινήσιος om. L. – κηκίδος Cθ. – πρωὶ νῆστιν θ. – κιρνᾶναι CGK. – χρῆσιν (sic) θ. — [9] ἴοι vulg. – ἴη JK, Lind. – ῆ C. – μέρον (sic) pro μέρος θ. – ἓν δὲ τ. ἀλ. om. J. – ἐσπέραν J. – συμμ. θ. — [10] μὲν ἂν (ἂν om. C) ἀρχῆς (ἐν ἀρχῇ pro ἂν ἀ. θ) vulg. – εἴη θ. – διαλείπων (διαλεῖπον JL, Lind.; ἀδιάλειπτον C; διαλίπῃ θ) vulg. — [11] δὲ om. K. – προίοι pro ἐλ. ῥυῇ C. – Ante χρόνου addit ῥυῇ J. – δεῖ pro δὴ DH. – ὑποχωρέειν D. – ἐρείξαντα CD. – ἐρρίξαντα JK. – σὺν Jθ. – κελύφοισι D. – καλύφεσιν C. — [12] ὀλίνθους FGHI, Ald. – ὀλόνθους θ. – ἠρίνους FGJL, Lind. – ἢ ῥίνους θ. – ἐρίνου D. – χρίνους IHK. – ἐριναίους C. – ἐρίνους vulg.

κόψαι, καὶ σῆσαι, καὶ ἐλαίης φύλλα ὁμοίως, ἴσον ἑκάστου, [1] καὶ καταπλάσσειν, καὶ γάλα πιπίσκειν βόειον, ἢ ἑφθὸν, ἢ ὠμὸν, [2] πρὸς τὸ ὀρθῶς ἔχον ὁρῶν, [3] καὶ ὡς ἂν καιρὸς δοκέῃ εἶναι. [4] Ἡ δὲ νοῦσος δοκέει βληχρὴ εἶναι καὶ θανατώδης· [5] ὀλίγαι δὲ διαφεύγουσιν.

114. [6] Ὁκόταν γυναικὶ αἷμα ῥέῃ ἐκ τῶν ἄρθρων ὑπὸ τόκου διεφθορυίῃ ἢ ὑπὸ νούσου· οἴονται δ' ἔνιοι τοῦτο τῶν ἰητρῶν ῥόον εἶναι, τὸ δ' ἐστὶν ἑτεροῖον· [7] τοῦτο μὲν ἐκ τῶν ἄρθρων κἀκ τῆς ὀσφύος καὶ ἰσχίου κολλῶδες ὁμοῦ τῷ αἵματι· κεῖνο δὲ [8] ἀπὸ ὑστερέων καὶ κοίλων φλεβῶν, καθαρὸν αἷμα. Ταύτην χρὴ ὑποθυμιῆν, ζειὰς κατερίξαντα ὅσον ἡμίεκτον, [9] ὄξει φυρῆσαι ὀλίγῳ, ὅκως μὴ κατὰ πᾶν ὑγρήνῃς τὰς μήτρας, καὶ τοῦ θείου ὁκόσον ἡμιωβόλιον μίξας πρὸς τὰς ζειὰς τετριμμένας [10] καὶ τῷ ὄξει φυρήσας, τὴν νύκτα τίθει· πρωῒ δὲ πῦρ πολλὸν κατακαύσας, ἐπιτιθέναι· [11] καὶ φλόμου βύσματα ἀπὸ ἐλαιηρῶν κεραμίων, καὶ ἀπὸ τοῦ κνάφου [12] τῶν κναφέων ξύμμισγε καθαρσίων, καὶ τοῦ καρποῦ τοῦ ὄφιος· ἀφαιρέειν δὲ τὸ πολλὸν τοῦ πυρὸς, [13] καὶ καίειν, καπνίσαις γὰρ ἂν μάλιστα. Δίφρον [14] δὲ χρὴ ὀπήεντα εἶναι καὶ ἀμφιέζεσθαι τὴν γυναῖκα περιστειλαμένην εἵμασιν, ὡς μὴ παραπνέῃ· ἐπὶ δὲ τὸ πῦρ ἐπιπάσσειν τὸ ξὺν τῷ ὄξει, καὶ τοῦ καρποῦ τοῦ ὄφιος. Καὶ σμύρνα δὲ [15] μισγομένη ἐνεργὸν, καὶ παύει τὰ

[1] Καὶ Cθ. – καὶ om. vulg. – πιπ. καὶ ἑφθὸν (κάθεφθον pro κ. ἑ. θ) βόειον (βόϊον θ) ἢ ὠμὸν Cθ. – βόειον om. (D, restit. al. manu post ὠμὸν) FG (H, restit. al. manu) IJKL. – ἢ ὠμὸν ἢ ἑφθὸν J. — [2] καὶ (καὶ om. Jθ) πρὸς vulg. – Post πρὸς addit γὰρ J. – ὁρῶν DFIHI (J, ὁρᾶν χρὴ) Kθ, Ald., Lind. – ὁρῶν om. vulg. — [3] καὶ θ. – καὶ om. vulg. — [4] καὶ (καὶ om. θ) ἡ (ἥδε pro ἡ Lind.) (addit δὲ θ) νόσος (νοῦσος CJKθ) δοκέῃ (δοκέει Dθ, Lind.) βλ. εἶναι καὶ (addit οὐ Lind.) θαν. vulg. — [5] παῦραι C (H, al. manu in marg.) θ. – δὲ τῆς τοιαύτης νούσου (τῆς τ. ν. om. Cθ) διαφ. vulg. — [6] ὅταν θ. – ἐν γυναικὶ DQ'. – ῥαίῃ θ. – ὑπὸ (ἐκ θ; ἀπὸ Lind.) τ. ἄ. ὑπὸ τ. διεφθορυῖα (διαφθορυῖα sic CHIK; διεφθορυία J; διεφθορυίῃ Lind.; διεφθὸν ῥύῃ sic θ) ἢ ἀπὸ (ὑπὸ Fθ) τοῦ (τοῦ om. CKθ) πόνου (νούσου θ) vulg. – οἴωνται J. – τῶν ἰη. om. Cθ. – ἰητρέων (sic) D. – ῥόων D. — [7] τὸν μὲν γὰρ ἐκ θ. – ἄρθρων ἐστὶν ἑτεροῖον (ἐσ. ἑτ. om. θ) κἀκ. vulg. – ὁμοίως pro ὁμοῦ J. — [8] ὑπὸ C. – [τῶν] ὑστ. Lind. – ὑστέρων D. – ταύτῃ CK. – ὑποθυμιᾶν θ. – κατερίξαντα Lθ, Lind. – κατερρείξαντα C. – καταρρήξαντα J. – κατερείξαντα D. – κατερρίξαντα FGHIK, Ald. – κατεῤῥήξαντα vulg. – ἡμισκτον (sic) θ. — [9] ὄξει δὲ θ. – ὀλίγον FGIJK. – ὀλ. om. θ. – ὅπως θ. – καθάπαν H. – κατάπαν (sic) K. – πάνυ pro πᾶν D. – ὑγρήνῃ J. – ὅσον θ. – ἡμιοβόλιον FGHK, Ald. – ἡμιοβέλιον CIθ. — [10] καὶ om. θ. – σύνθες Cθ. – Ante ἐπιτ. addit καὶ ἐπὶ πῦρ θ. — [11] καὶ φλόμου θ. – καὶ φλ. om. vulg. – ἐλαιηρέων C. – γνάφου Cθ. — [12] τοῦ pro τῶν J. – γναφέων CGθ. – σύμμ. θ. – καθάρσεων vulg. – θαρσὸν (sic) C. – θαρσέων θ. –

tamiser, traiter les feuilles d'olivier semblablement, prendre de chaque partie égale, et appliquer en cataplasme; prescrire le lait de vache cuit ou cru, considérant le bon état des choses et l'opportunité. Cette maladie est lente et grave; peu en réchappent.

114. (*Distinction entre l'écoulement vrai du sang qui vient de la matrice, et l'écoulement faux qui vient des lombes et de l'ischion. Traitement de ce dernier écoulement.*) Quelquefois une femme rend du sang provenant des articulations, ayant souffert à la suite de l'accouchement ou par l'effet d'une maladie. Quelques médecins prennent cela pour un écoulement; ils se trompent; ceci est une humeur visqueuse venant des articulations, des lombes et de l'ischion avec le sang; l'écoulement vrai vient de l'utérus et des veines caves et est du sang pur. Dans ce cas, faire la fumigation suivante : épeautre broyé, un demi-setier, pétrir avec peu de vinaigre, afin de ne pas humecter complétement la matrice, mêler à l'épeautre pilé une demi-obole de soufre, pétrir avec le vinaigre, et exposer la nuit au serein; le lendemain matin, allumer un grand feu et mettre ce mélange sur le feu; y mêler des tampons de molène (*verbascum*) qui ont servi à boucher les vases à huile, des ordures prises au peigne des foulons, et de la graine d'ophis (*plante indéterminée*); diminuer l'ardeur du feu et brûler; c'est ainsi que vous obtiendrez le plus de fumée. Vous aurez un siége avec un pertuis et vous y assoierez la femme, la couvrant avec des vêtements afin que la vapeur ne se perde pas; puis vous jetez sur le feu la préparation au vinaigre et la graine d'ophis. La myrrhe aussi est efficace, et, en parfum, arrête le sang qui mouille les parties génitales. Quand la fumi-

καθάρσιον (sic) J. – καθαρσίων Lind. – ἀφαιρέων δὲ τοῦ πολλοῦ θ. — [13] καὶ om. θ. – καὶ μὴ καίειν Cornar., Lind. – καπνιῶν (καπνιᾷν Lind.; καπνίων C) δὲ μάλιστα vulg. – καπνίσαις γὰρ ἂν μάλιστα θ. — [14] δὲ om. K. – ὀπ. om. DFGHIJK. – ὀπηέντα Frob. – ἀφιίζεσθαι (sic) J. – ἀμφιέζεσθαι Cθ. – περιστιλαμένην θ. – εἵμασιν K. – ἵμασιν Cθ. – ὡς ἂν μὴ θ. – σὺν Dθ. — [15] σμιγομένη C. – παύειν vulg. – παύει θ. – Ante τὰ addit [καὶ] Lind. – θυμιητέον C. – ἐρύσιμον C. – πεφωγμένον Dθ.

αἰδοῖα τὸ θυμιητὸν αἱμάσσεσθαι. Ἢν δὲ ἅλις ἔχῃ, ἐρυσίμου καρπὸν πεφωσμένον τρῖψαι καὶ ἐν οἴνῳ διδόναι.

115. Ῥόος [1] πυῤῥὸς ῥέει, οἷον ἐξ ᾠοῦ εἰδεχθέος πουλύ τε καὶ δύσοδμον, καὶ φλεγμαίνουσιν αἱ ὑστέραι, καὶ ὀδύνη ἐκ τῆς ὀσφύος καὶ τῶν βουβώνων, καὶ τὰ [2] ἐπερχόμενα πολλὰ, καὶ ἣν μὴ ἀπαλλάσσηται, ταχὺ [3] ῥέοντα· ἀλλ' ἣν καὶ χρόνος ἐγγένηται, τὰ [4] ἀπιόντα σήπει ὡς οἷόν τε μάλιστα· ῥεῖ γὰρ οἷον ἀπὸ κρεῶν ὀπτῶν χυμός· ἅμα δὲ [5] τουτέοισι πυρετοὶ ἰσχυροὶ καὶ ῥίγεα· ἐκ δὲ τῶν [6] τοιούτων ῥόων αἱ μὲν πολλαὶ ἀπόλλυνται, ὀλίγαι δὲ διαφεύγουσιν. [7] Κἢν μὲν ἐν ἀρχῇ παραλάβῃς, θεραπεύειν ὧδε χρή· ἢν μὲν ἀπύρετοι ἔωσι καὶ ἰσχύωσιν, [8] ἐλλεβορίζειν· ὅταν δὲ γένηται, διαλιπόντα ἡμέρας τρεῖς ἢ τέσσαρας κάτω πῖσαι φάρμακον. [9] Μετὰ δὲ τὴν κάθαρσιν διαιτῆν ὧδε, ὅκως τὰ ῥεύματα ὑδαρέα ἔσται καὶ λιπαρά· [10] πρωῒ μὲν νήστει διδόναι τῶν φαρμάκων τι πίνειν ἐπ' οἶνον ἐπιπάσσων, ὧν ἂν ἐγὼ γράψω πρὸς ῥόον· μετὰ δὲ τὸ φάρμακον ἐν τῇ ἄλλῃ διαίτῃ θεραπεύειν, τὰς δὲ ὑστέρας θεραπεύειν ὧδε· ἢν μὲν φλεγμαίνωσι καὶ ξυμμεμύκωσι, πυριῆν χρὴ μαλθακῇσι τῇσι πυρίῃσι, [11] μέχρις οὗ τὸ στόμα τῶν μητρέων μαλθακὸν γένηται· μετὰ δὲ τὰς πυρίας, κλύζειν τῶν κλυσμάτων [12] ὁκοίοισιν ἂν δοκέῃ δεῖσθαι, ἤν τε καθαρτικωτέροισιν ἤν τε μαλθακωτέροισι· μετὰ δὲ τοὺς κλυσμοὺς μαλθακτήρια προστιθέναι· [13] ἢν δὲ μὴ εὔλυτον τὸ στόμα γίνηται, πυριῆν καὶ μαλθάσσειν προσθέτοισιν ὧν ἂν ἐγὼ γράψω, [14] μέχρις ἂν ἀναστομωθῇ. Ἢν δὲ μὴ πρὸς ταῦτα παύηται τὰ ῥεύματα, καθαίρειν

[1] Πυρὸς G. – ῥεῖ θ. – οἷον ἔξω οὐδεχθέος πολύ τε C. – ἰδεχθέος FGHI. – οὐδεχθέος Ald. – ἰλεχθέος θ. – Schneider, dans son Dict., pense que la leçon est altérée et qu'on devrait lire ὀδεχθὴς ou ὀζεχθής. Mais il n'y a rien à changer, l'auteur hippocratique donnant ici et un peu plus loin le sens de *puant* à εἰδεχθής. – κάκοδμον θ. – ὀδύναι θ. – βουβόνων (sic) θ. — [2] ἀπ. Cθ. – πουλὰ F, Ald., Frob. – πουλλὰ DGHIJ. — [3] ῥαίων θ. – ἀλλ' εἰ (ἀλλὰ sine εἰ DFHIJKLθ) vulg. – Je lis ἤν. – καὶ om. θ. – ἐνγίνηται θ. — [4] λείποντα vulg. – λίποντα (sic) I. – ἀπιόντα θ. – οἴονται pro οἷόν τε θ. – ῥιγέει (ῥεῖ θ) γὰρ καὶ (καὶ om. θ) οἷον ἀ. κ. ὀπτῶν (ὠμῶν J) χυμὸς ἐπιῤῥέει (ἐπ. om. Cθ)· ἅμα vulg. — [5] τούτοισι θ. – ῥίγεες (sic) K. — [6] τοιῶνδε θ. – τοιουτέων D. – ἀπόλυνται J. — [7] ἢν οὖν ἐν θ. – ἐνέωσι θ. — [8] ἐλλεβορίζῃς θ. – διαλείποντα CJ. – πεῖσαι θ. – σπεῖσαι C. – φαρμάκω θ. — [9] εἶτα μετὰ sine δὲ θ. – διαιτᾷν (διαίτην θ; διαιτῇς C) ὀφείλεις (ὀφ. om. Cθ; ὀφείλει DH) ὧδε vulg. – ὅπως θ. – ἐστὶ L, Lind. — [10] διδόναι δὲ πρωῒ μὲν (μὲν om. θ) νήστει C (θ, νήστι). – φαρμ. ἢ

gation est suffisante, piler de la graine grillée d'érysimon et donner dans du vin.

115. (*Écoulement roux.*) L'écoulement roux est abondant et fétide comme d'un œuf gâté ; la matrice est enflammée, il y a douleur aux lombes et aux aines ; le flux est abondant, et, s'il n'y a pas amélioration, il coule rapidement. Dans le cas où le mal se prolonge, l'écoulement produit une très-grande corruption ; car il est comme du jus de viande cuite. Avec ces accidents surviennent des fièvres fortes et des frissons. De tels écoulements font périr la plupart des femmes, et peu réchappent. Si vous avez la malade dès le début, il faut traiter ainsi : en cas d'apyrexie et de force, donner l'ellébore ; cela fait, laisser reposer trois jours ou quatre, et administrer un évacuant par le bas. Après la purgation, conduire, afin que le flux soit aqueux et onctueux, le régime ainsi : le matin, à jeun, donner à boire, en poudre dans du vin, quelqu'un des médicaments que j'écrirai pour le flux ; après le médicament, prescrire un régime général, et, en particulier, traiter ainsi la matrice : si elle est enflammée et fermée, administrer des fumigations émollientes, jusqu'à ce que l'orifice en devienne mou ; après les fumigations, faire les injections qui paraîtront convenables, soit plus actives soit moins actives ; après les injections, appliquer en pessaire les émollients. Si l'orifice utérin ne cède pas facilement, faire des fumigations, et l'amollir par des pessaires que j'écrirai, jusqu'à ce qu'il s'ouvre. Si le flux ne cesse pas par ces moyens, purger la tête, et prescrire ce régime : boire, s'il y a dysurie, du lait d'ânesse ; herbages cuits, cul-

(τι pro ἢ θ) πίνειν vulg. – ἃ pro ὧν ἂν θ. – ἐν om. Cθ, Ald. – διαίτῃ θεραπεύειν δὲ τὰς ὑστ. ὧδε· ἢν θ. – καὶ τὰς ὑστ. sine δὲ C. – ὧδε χρὴ L, Lind. – φλεγμήνωσι καὶ ξυνμηκύνωσι, πυριᾶν χρὴ μαλθακῇ εἶ τῇσι πυρ. θ. – ξυμμεμύκασι DFGHIK. – τῇσι δὲ πυρ. FGH (I, τῇσιδε) JK, Ald. — [11] μέχρι τὸ στόμα εὔλυτον καὶ ὁ στόμαχος μαλθακὸς γένηται θ. – τῶν μη. om. θ. — [12] ὁκοίῃσιν J. – ὁποίοις θ. – ἢν pro ἂν θ. — [13] ἢν δὲ τὸ στ. μὴ εὔλ. γίνηται θ. – ἄλυπον J. – γένηται D. — [14] μέχρις ἂν στομωθῇ, mutat. al. manu in μέχρις ἀναστομωθῇ H. – μέχρι sine ἂν θ. – στομωθῇ DFGIJL. – πρὸς ταῦτα μὴ CDFHIJKθ. – οὕτως vulg. – οὕτω CJθ. – διαιτεῖν C.

τὴν κεφαλὴν, καὶ οὕτω διαιτῆν· ἢν μὲν [1] δυσουρέῃ, ὄνου γάλα πίνειν· λαχάνοισιν ἑφθοῖσι καὶ ἡμέροισι καὶ ἀγρίοισι, πλὴν σκορόδων καὶ πράσων καὶ κράμβης καὶ ῥεφάνου τῆς μακρῆς· θαλασσίων [2] βάτῳ τῷ λείῳ, σκορπίῳ, γόγγρῳ, νάρκῃ, ἐγχέλυϊ, ψήσσῃ, κωβιῷ, ἑψεῖν [3] δὲ χρὴ ἐν κρομμύοισι καὶ κοριάννοισιν, ἐν ἅλμῃ γλυκείῃ καὶ λιπαρῇ δίεφθα· κρεῶν δὲ μάλιστα μὲν συὸς, δεύτερον δὲ ἀρνὸς, ἢ οἶος, ἑφθοῖσι μᾶλλον ἢ ὀπτοῖσι, [4] καὶ ζωμοῖσιν· οἴνῳ λευκῷ μελιχρῷ ὑδαρεῖ· λουτροῖσιν ἄνευ τῆς κεφαλῆς, μὴ λίην θερμοῖσι μηδὲ πολλοῖσιν. Ἢν δὲ πρὸς ταύτην τὴν δίαιταν τῆς μὲν ἑλκώσιος καὶ [5] τῆς φλεγμασίης ἀπαλλάσσωνται, ὑγραὶ δὲ ὦσιν αἱ μῆτραι, ἀντὶ μὲν λουτρῶν ἀλουσίῃσιν, ἀντὶ δὲ [6] κιῤῥῶν οἴνων μέλασιν, ἀντὶ δὲ ὑδαρεστέρων ἀκρητεστέροισιν, ἀντὶ δὲ ἀλφίτων ἄρτοισι, ἀντὶ [7] δὲ ἰχθύων κρέασιν ὀπτοῖσι καὶ σιτίοισι πᾶσι [8] τοῖσι ξηραντικοῖσιν, οἷσιπερ ἐπὶ τῇσι διαῤῥοίῃσι χρεόμεθα· κλυσμῶν ἀπηλλάχθαι πάντων, πλὴν οἴνου καὶ ὕδατος· θυμιῆσθαι [9] δὲ τοῖσι στυπτικοῖσιν· ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. Ἢν δέ τις νεῆνις ᾖ, ἐμέτους νήστιας, πυκνὰ δὲ ἐπεμέειν, καὶ μετέπειτα ἀριστίζεσθαι σμικρόν. Αὕτη τῶν ῥόων τῶνδε τυγχάνει δίαιτα.

116. Ῥόος λευκός· [10] ῥέει λευκὸν ὡς ὄνου οὖρον, καὶ ἐν τῷ προσώπῳ οἰδήματα, καὶ τὰ ὑποφθάλμια οἰδέει ἄμφω, ὑδρωποειδέα τε καὶ οὐ πάνυ εὐειδέα τὰ τῶν ὀφθαλμῶν, καὶ τὸ λαμπρὸν ἄπεστι, [11] καὶ γλαμυροὶ οἱ ὀφθαλμοὶ καὶ ἀμβλυώσσοντες, καὶ τὸ χρῶμα ἀφυῶδες [12] καὶ φλυκταινοειδὲς, καὶ ἡ γαστὴρ ἐπανοιδέουσα ἡ νειαίρη, καὶ ἐν τῇσι γνάθοισι κατὰ [13] σμικρὸν ἐρυθροειδέα τε καὶ [14] σμικρὰ καὶ ὑδαρέα καὶ πονηρὰ, καὶ ἐν τοῖσι σκέλεσιν οἰδήματα, καὶ ἢν πιέζῃς τῷ

[1] Ἄπυρος ᾖ (δυσουρέῃ θ), ὄνου vulg. – ῥεφάνου Cθ. – ῥαφ. vulg. — [2] δὲ (δὲ om. Cθ) βάτῳ vulg. – κωβίῳ pro τῷ λείῳ θ. – ἐνχελύει θ. – ἐγχέλυ (sic) H. – ἐγχέλυν I. – κωβίῳ FGIKθ. — [3] δὲ om. D. – κοριάνοισιν CDHJK. – κοριάννοις θ. – γλυκεῖ ἢ καὶ λιπαρῇ θ. – ῥυπαρῇ DQ', Lind. – διέφθῳ Lind. – διεφθᾶν (sic) C. – δὲ μᾶλλον D. – δεύτερα K. – ἀρνοῦ vulg. – ἀρνὸς DFGIJK LQ'θ. — [4] καὶ τοῖσι (τοῖσι om. θ) ζ. vulg. – μελ. (μελίχροῖ C) ἢ (ἢ om. Cθ) ὑδ. vulg. – λουτροῖσιν om. θ. – πλὴν pro ἄνευ Cθ. – μηλίην pro μὴ λ. HJ. – πολλ. μηδὲ θερμ.. DH. — [5] τοῖς J. – ἀπαλλάσσονται C. – ὑστέραι θ. — [6] κηρῶν G. – ἀκρητεστέρῃσι G. — [7] δ' θ. – ὀπτ. om. θ. — [8] τοῖς θ. – χρώμεθα θ. [9] δὲ om. θ. – δ' ἐν θ. – τις om. J. – νεᾶνις vulg. – νεάνις DH. – νεήνις (sic) C. – νηστείας vulg. – νήστιας Cθ. – δ' ἀπεμέειν Cθ. – μετὰ τοὺς ἐμέτους pro μετ-

tivés et sauvages, excepté l'ail, le poireau, le chou et la rave longue; poissons de mer, la raie sans épine, le scorpion (*cottus scorpio)*, le congre, la torpille, l'anguille, le turbot, le gobius, les faire cuire avec poireau et coriandre dans de la saumure douce et grasse, ils doivent être très-cuits; viandes, en premier lieu le porc, en second l'agneau ou le mouton, bouilli plutôt que rôti, et des bouillons; un vin blanc, couleur de miel, aqueux; bains, sans la tête, ni très-chauds ni très-fréquents. Si, à l'aide d'un tel régime, l'utérus guérit de l'ulcération et de la phlegmasie, mais devient humide, supprimer les bains; vins noirs, au lieu de vins paillets, purs au lieu de coupés d'eau, pains au lieu de polenta; au lieu de poissons, viandes rôties, et tous aliments siccatifs, comme nous employons dans les diarrhées; renoncer à toutes les injections, sauf le vin, et l'eau; faire des fumigations avec les astringents. Il est très-bon pour la femme de devenir enceinte. S'il s'agit d'une jeune femme, prescrire les vomissements à jeun, les répéter souvent, et donner ensuite un petit déjeuner. Tel est le régime des écoulements.

116. (*Leucorrhée.*) Leucorrhée : l'écoulement est blanc comme de l'urine d'âne; gonflements dans le visage; le dessous des deux yeux est tuméfié; les yeux sont pleins d'eau et n'ont pas bon aspect, le brillant en est effacé, ils sont chassieux, et la vue est trouble. La peau est blafarde et se couvre de phlyctènes. Le bas-ventre se gonfle. Il survient aux mâchoires peu à peu une éruption rougeâtre, petite, aqueuse et de mauvaise nature. Les jambes enflent; si vous pressez avec le doigt, il s'y forme une empreinte comme dans la pâte. La bouche s'emplit

ἔπειτα θ. – σμικρὸν Cθ. – μικρὸν vulg. – αὐτῇ C. – τῶν θ. – τῶν om. vulg. – τυγχ. τῶνδε D. – τυγχ. om. Cθ. — [10] ῥεῖ θ. – λευκὸς J. – λευκὸν om. θ. – ὑδροποειδέα CDH. – δὲ pro τε D. – εὐείδεα Cθ. – ὁρεύμενα pro τὰ τῶν ὀφθ. C (θ, ὁρώμενα). — [11] καὶ οἱ ὀφθ. γλαμμυροὶ (γλαμυροὶ θ) ἀμβλυώσσοντες C (θ, ἀμβλυώσσ.). – γλαφυροὶ L. — [12] καὶ om. J. – φλεκταινοειδὲς FJ. – φληκτ. G, Ald. – φλυκτενοειδὲς H. – νειέρη FGHIK, Ald., Frob. – νειαρὴ Lind. – νιερὰ θ. – τοῖσι DFGHIJ, Ald. — [13] μικρὸν vulg. – σμ. θ. — [14] μικρὰ C. – πιεζέης CDHIJK.

δακτύλῳ, ἐμπλάσσεται [1] ὥσπερ ἐν σταιτὶ, καὶ τὸ στόμα σιέλου ἐμπίπλαται· καρδιωγμοί τε, ὁκόταν νήστιες ἔωσιν, καὶ ἐμέουσιν οἷον ὕδωρ ὀξύ· καὶ ἢν [2] πρὸς ἄναντες πορευθῇ, θᾶσσον ἆσθμα ἔχει, καὶ πνὶξ, καὶ σκελέων [3] ἀπόψυξις, καὶ γουνάτων ἀκρασίη, καὶ ἐν τῷ στόματι ἄφθαι, καὶ ὑστέρη παρὰ λόγον ἀνεστόμωται, καὶ ἐμπέπτωκεν ἐν τῷ στόματι βαρέη ὥσπερ μόλιβδος· καὶ διὰ τῶν [4] μηρῶν διατείνουσιν ὀδύναι, καὶ ἀποψύχεται πάντα τὰ κάτω, [5] τὰ ἀπὸ νειαίρης γαστρὸς ἀρχόμενα ἄχρι ποδῶν, [6] καὶ τὰ θέναρα τῶν ποδῶν ναρκῶσι, [7] καὶ ἐπιβαίνειν οὐ δύνανται. Τὰς τοιαύτας χαλεπὸν ἀπαλλάσσειν τῶν νοσημάτων· αἵ τε γὰρ ἡλικίαι προβεβήκασιν, οἵ τε κάματοι ξυγκαταγηράσκουσιν, ἢν μή τι εὐτύχημα τῶν αὐτομάτων λύσῃ γενόμενον. Ταύτῃσι χρὴ [8] ἀπαρύσαι, ὅταν πλεονάζῃ, φαρμάκοισιν ἅσσα χολὴν ξανθὴν μὴ καθαίρει, ἀλλὰ τὰ οὐρητικὰ [9] ταύτῃσι ξυμφέρει πινόμενα, καὶ κεφαλῆς καθάρσιες, καὶ ἀλουσίαι, καὶ τὸ λευκὸν ἐπίθυμον [10] ποιέει, καὶ περίπατοι, καὶ πᾶσα ξηρασίη ἐν τῇ διαίτῃ. Ταῦτα δρῶσαι ὑγιέες μὲν παντελῶς οὐ γίνονται, εὐπετέστερον δὲ διάγουσιν.

117. Ῥόου [11] λευκοῦ θεραπείη· καθαίρεται λευκὸν ὑπόχλωρον, καὶ ὅταν οὐρέῃ, δάκνει καὶ ἀμύσσει, καὶ ἑλκοῖ τὴν ὑστέρην, καὶ πυρετὸς ἔχει ὀξὺς, καὶ θέρμη πολλὴ, δίψα, ἀγρυπνίη, καὶ ἔκφρονες γίνονται, καὶ ὅταν σπουδάσῃ, ἆσθμά μιν ἔχει, [12] καὶ τὰ γυῖα λύονται. Ταύτην μήκωνα πιπίσκειν λευκὴν, καὶ κνίδης καρπὸν, ἄμεινον καὶ ῥοιῆς γλυκείης ῥίζαν καὶ φύλλα καὶ [13] ῥόον καὶ κικίδα· ταῦτα ἐν οἴνῳ στρυφνῷ πιπίσκειν, καὶ ῥοιῆς χυλὸν, καὶ ξυμμίσγειν τυρὸν αἴγειον·

[1] Ὡς θ. – τὸ om. θ. – πτυάλου ἐμπίμπλαται, καρδιωγμός τε ὅταν νῆστις (sic) ᾖ καὶ ἐμέουσιν οἷον ὕδωρ ὀξὺ θ. – νήστιδες DG. – νῆστις C. – νίστιδες F. – ἔωσιν, ᾖ καὶ ἐμέωσιν (ἐμέουσιν CDFHIK) ὕδ. οἷον (οἷον om. C) (οἷον ὕδ. HI) ὀξὺ vulg. — [2] πρόσαντες vulg. – προσαναντες (sic) θ. – πνὶγξ θ. — [3] ἀπόπνιξις J. – πολλὸν pro παρὰ λ. θ. – βαρείη vulg. – βαρεῖα C. – βαρέη θ. — [4] μηρέων C. — [5] τὰ om. C (D, restit. al. manu). – νειέρης FGHIK, Ald., Frob. – νιαιρῆς C. – νιαιρης θ. – νειαιρῆς Lind. – μέχρι θ. — [6] κατὰ pro καὶ τὰ C. – τῶν ποδῶν θ. – τῶν π. om. vulg. — [7] καὶ CDGHIJKθ, Ald., Lind. – καὶ om. vulg. – τὴν τοιαύτην θ. – νουσ. DGHIJK, Ald., Lind. – προσβεβ. C. – συγκατ. θ. – εὐτυχημάτων αὐτομ. θ. – λύσιν FGHI. – λύσει Ald. – λυσιγενόμενον (sic) C. — [8] ἐπαρρύσαι C. — [9] ταῦτα θ. – καθάρσηες C. – ἀλουσίη Cθ. — [10] πίνειν (ποιέει θ) vulg. – πάσῃ θ. – δρῶσα ὑγιής.... γίνεται.... διάγει θ. — [11] ἐρυθροῦ pro λ. θ. – θεραπεία D. – θεραπίη C. – οὐρέει J. – οὐ ῥέει L

de salive. La femme a de la cardialgie quand elle est à jeun, et vomit une espèce d'eau acide; si elle monte une côte, elle est plus vite essoufflée. Elle suffoque, ses jambes se refroidissent; ses genoux sont sans force. Des aphthes naissent dans la bouche. L'utérus est béant contre nature, et pèse sur l'orifice comme un plomb. Des douleurs s'étendent à travers les cuisses. Toutes les parties inférieures se refroidissent depuis le bas-ventre jusqu'aux pieds; la plante des pieds est engourdie, et la malade ne peut marcher. Dans ces cas la guérison est difficile; car ce n'est plus l'âge de la jeunesse, et les souffrances s'invétèrent, à moins de quelque bonne fortune qui spontanément dissipe l'affection. Il faut administrer, quand il y a pléthore, des évacuants qui n'agissent pas sur la bile jaune. Les diurétiques en boisson conviennent, ainsi que les purgations de la tête, l'abstinence de bains, l'épithymon blanc (*cuscuta epithymon*), les promenades et tout ce qui, dans le régime, dessèche. Par ces moyens, les femmes, à la vérité, ne guérissent pas complétement, mais leur existence devient plus supportable.

117. (*Autre leucorrhée.*) Traitement de la leucorrhée : l'écoulement est blanc, jaunâtre ; quand la femme urine, elle éprouve des mordications et des élancements; l'utérus s'ulcère ; fièvre aiguë, beaucoup de chaleur; soif, insomnie; délire; si elle se livre à quelque occupation, elle est essouflée, et les membres sont dans le relâchement. En ce cas, faire boire le pavot blanc et la graine d'ortie, ou, mieux, la racine et les feuilles de grenadier blanc, le sumac et la noix de galle ; donner cela à boire dans du vin astringent : donner du jus de grenade, et mêler du fromage de chèvre. Pour fumigation, épeautre, figues vertes d'hiver, feuilles d'olivier, galle d'olivier,

(Lind., ῥέῃ). - ἀμύσει καὶ ἑλκέοι ὑστ. C. - ἕλκοι θ. — [12] κατὰ pro καὶ τὰ C. - τὰ om. θ. - γῦα I. - ταύτην δέον (δ. om. Cθ) μ. vulg. - Ante λευ. addunt καὶ FHIJK. — [13] Voilà encore ῥέον mis pour ῥοῦν. - καὶ om. L. - κηκῖδα Cθ, Lind. - διδόναι (διδ. om. Cθ) πιπίσκειν (πιπ. om. C) vulg. - ὑποκάπνι (sic) F. - δὲ om. C. - ὀλόνθους Cθ. - ὀλίνθους FHK. - ψώρας (ψώραν θ) τῆς αὐτῆς (τ. α. om. Cθ), καὶ vulg.

ὑποκάπνιζε δὲ ζειὰς καὶ ὀλύνθους χειμερινοὺς καὶ ἐλαίης πέταλα καὶ ψώρας, καὶ σικύης λέμματα τρίτον μέρος, τὰ δ' ἄλλα [1] ἴσον· καὶ τῶν ἑψανῶν ῥοφέειν, καὶ τὰ δι' ἀμυγδάλων καὶ σησάμου ῥοφήματα, καὶ αἰωρέεσθαι καὶ ὀχέεσθαι καὶ μὴ ἠρεμεῖν.

118. [2] Ῥόος ἄλλος· καθαίρεται ὁκοῖον προβάτου οὖρον πολὺ, χροιὴ λευκὴ, καὶ οἰδέει πᾶσα, καὶ ἐν τῇσι κνήμῃσι [3] πόμφοι ἀνίστανται, καὶ ἢν ἐπαφήσῃ τῷ δακτύλῳ, τῇσι κνήμῃσι καὶ τοῖσι ποσὶν ἐμπλάσσεται βοθροειδέα, καὶ ἤν τι φάγῃ, [4] ἐμπίπλαται, καὶ φλεγμαίνει, καὶ ἐπειδὰν ὁδοιπορήσῃ καὶ ἔργον τι δράσῃ, ἆσθμά μιν λαμβάνει καὶ πόνος, καὶ ἡ χροιὴ λευκὴ, ἐνίοτε ὑπόχλωρος. Ταύτῃ, ἢν ἰσχύῃ [5] καὶ ᾖ νέη, καὶ τἄλλα φαίνηται, καταρχὰς δίδου ἄνω φάρμακον καὶ κάτω· καὶ τὴν κεφαλὴν κάθαιρε, ἢν μὲν φλεγματώδης ᾖ, δι' ὧν φλέγμα καθαίρεται, ἢν δὲ χολώδης, δι' ὧν χολή· καὶ ἢν ὥρη [6] ᾖ τοῦ ἔτεος καὶ ἢν μὴ φύσει ᾖ σπληνώδης, καὶ ἤν τι τῶν [7] εἰρημένων ᾖ, ὀῤῥὸν διδόναι, ἀφεψεῖν δὲ καὶ πίνειν ὡς πλεῖστον χρόνον· καὶ ἐς ἑσπέρην οἶνον γλυκὺν ὑδαρέα, ἢν δέῃ, σίτου δὲ μὴ ἅπτεσθαι· ἢν [8] δὲ ἀσθενὴς ᾖ, ῥοφήματι ὡς ἐλαχίστῳ, καὶ ἀλουτεέτω· ἐπειδὰν δέ σοι καιρὸς δοκέῃ εἶναι, τῆς πόσιος παυέσθω, καὶ μετὰ τὴν κάθαρσιν σιτίοισι χρεέσθω, ἀπεχομένη λιπαρῶν [9] καὶ δριμέων καὶ γλυκέων, καὶ ἁλμυρῶν, καὶ λαχάνων [10] δριμέων, χρῆσθαι δὲ ἰχθύσι πετραίοισι καὶ κρέασι μηλείοισιν, ἢ ὀρνιθίοισιν, ἢ λαγωοῖσιν, ἄρτῳ [11] σποδίτῃ ἢ ἐρικτοῖσι, καὶ λαχάνοισιν ἑφθοῖσι χρεέσθω, καὶ ἀγρίοισι [12] τρωκτοῖσι καὶ ἡμέροισιν ἄτερ δριμέων· καὶ περιπατείτω πρωῒ [13] καὶ

[1] Ἴσα vulg. – ἶσον D. – ῥυφεῖν DFHIθ. – ῥυφῆν K. – ῥοφέειν C. – ῥιφεῖν GJ. – ῥοφεῖν vulg. – τὸ CDFGHKLθ, Lind. – ῥύφημα θ. – ῥόφημα CHLQ'θ, Lind. – καὶ ἐνορέεσθαί τε C. – ἑωρέεσθαι G, Ald. – τε καὶ θ. — [2] ἄλλος ῥόος D. – καθαίρεται Cθ. – καταῤῥέεται vulg. – οἷον θ. – ὁκοῖον ὡς πρ. C. – πουλὺ DHIJK. — [3] πολφοὶ C (F, al. manu) GI. – πόλφοι HKθ, Ald. – πόμφοι.... κνήμῃσι om., restit. al. manu D. – βοθριοειδέα (sic) θ. – θρομβοειδέα J. — [4] ἐνπίμπλαται θ. – φλεγμαίνῃ G, Ald. – ἐνίοτε λευκὴ J. – λίην pro ἐνίοτε θ. – Ante ὑπ. addit ἢ J. — [5] καὶ ἢν (ἢ pro ἢν Cθ) νέη vulg. – φάρμακα Cθ. – καθαίρειν Cθ. – ἢν (addit μὲν θ) φλ. ἐστι (ᾖ CJθ) vulg. – ὑφ' pro δι' (bis) Cθ. – ἢν pro δι' ὧν J. — [6] ἢν pro ᾖ C. – καὶ (addit ἢν θ) μὴ φ. ἐστὶ (ᾖ CJθ) vulg. — [7] εἰρ., ᾖ (ἢ J, Lind.) ὀῤῥ. (ὄρον Cθ) vulg. – ἐς om. IJK. – γλυκὺν οἶνον θ. – ἢν δὲ ᾖ C. – σιτίου θ. – ἁπτέσθω C. — [8] μὴ pro δὲ θ. – ἀσθενήσῃ C. – ῥυφ. θ. – ἀλουτείτω vulg. – ἀλουτίτω θ. – ἀλουτεέτω D. – χρήσθω θ. — [9] κ. δρ. om. Cθ. — [10] δρ. om. C. – δ' θ. – μὴ λίοισιν θ. – μηλίοισιν C. – ὀρνιθείοισιν DHJ. — [11] σιτώδει

écorce de concombre sauvage un tiers, du reste partie égale. Prendre des potages de légumes bouillis, des potages aux amandes et au sésame; se balancer, aller en voiture, ne pas rester en repos.

118. (*Autre leucorrhée. Règle pour la cure par le lait.*) Autre écoulement : le flux est abondant et comme de l'urine de mouton. La femme est décolorée; elle est toute gonflée; aux jambes s'élèvent des boutons. Si vous appuyez avec le doigt sur les jambes ou les pieds, l'impression en reste comme une fossette. Si elle mange quelque chose, elle ressent de la plénitude et de l'inflammation. Quand elle marche et fait quelque ouvrage, elle est essoufflée et souffre. La peau est blanche, quelquefois jaunâtre. En ce cas, si elle est forte, jeune et que les autres signes concourent, donner, au début, un évacuant par le haut et par le bas; purger la tête, si la malade est pituiteuse, avec les médicaments qui évacuent la pituite; si elle est bilieuse, avec les médicaments qui évacuent la bile. Si la saison de l'année le permet, que la femme n'ait pas naturellement la rate malade et que quelqu'un des signes susdits existe, donner le petit lait, qui aura bouilli et dont elle boira le plus longtemps possible; le soir, du vin doux aqueux, s'il en est besoin; ne pas toucher aux aliments, sauf, en cas de faiblesse, un peu de potage, mais aussi peu que possible; point de bain. Quand le temps paraît venu, la femme cessera le petit lait, et, après cette purgation, elle prendra des aliments, s'abstenant des choses grasses, âcres, douces, salées, des herbages âcres; mangeant poissons de roche, viandes de mouton, volaille, lièvre, pain cuit sous la cendre, ou orge pilée; herbages bouillis; herbages qui se mangent crus, sauvages et cultivés, sauf ceux qui sont âcres. Elle se promènera le matin et après le re-

vulg. - σιτώδη H. - σποδίτη θ. - ἐρεικτοῖσι D. - ἐρίκτοισι HI. - χρήσθω θ. — [12] Gal. Gl. : τρωκτοῖσιν, ὠμοῖς ἐσθιομένοις. - ἄνευ J. - περιπατεέτω Lind. — [13] καὶ om. K. - τοῦ om. D. - ποιέοι FG. - ποιέειν J. - ποιέοντα (D, emend. al. manu) HK. - καὶ σκληροτέρη pro ξηρ. FGJ. - τρυγεὶ θ. - τέτταρας vulg. - τέσσερας θ. - ἡσυχίαν vulg. - ἡσυχίην HI, Lind.

ἀπὸ τοῦ σίτου. Ἐπὴν δέ σοι δοκέῃ ταῦτα ποιέοντι ξηροτέρη εἶναι, κλύζειν τὰς ὑστέρας τῇ τρυγί· τρεῖς δὲ ἢ τέσσαρας ἡμέρας διαλιπὼν, μετέπειτα στρυφνοῖσι κλύσαι, καὶ ἐπισχόντα, ἢν μὲν ᾖ ξηρὴ, ἡσυχίην ἄγειν, καὶ [1] ἢν φύσει ᾖ χολώδης ἢ φλεγματώδης, ὑπὸ δὲ τῆς διαίτης καὶ τῆς φαρμακοποσίης λεπτυνθεῖσα, ἢν μὴ δύνηται ἀναλαβεῖν, γάλα πινέτω τεσσαράκοντα ἡμέρας βόειον, θερμὸν ἀπὸ βοός. Τὴν δέ [2] γε φλεγματώδεα ἄμεινον σιτίοισιν ὡς ἐλαχίστοισι χρέεσθαι, ἕως ἂν γαλακτοποτέῃ, ἔστω δὲ μέτρον ὅσον ἓξ κοτύλαι ἀττικαὶ, [3] ἄρχεσθαι δὲ ἀπὸ δύο, καὶ προσθέτω κοτύλην ἑκάστης ἡμέρης, ἄχρις ἂν ἓξ γένωνται, κἂκ τοῦ κατ' ὀλίγον ἐπὶ τὸ ἔλασσον, καὶ μετὰ τὴν γαλακτοποσίην ἀνακόμιζε σιτίοισι καὶ διαίτῃ. Καὶ μετὰ [4] τὴν τοῦ γάλακτος πόσιν πινέτω πρωῒ νῆστις ἀδίαντον, ξηρήνας, κοψάτω, καὶ διασήσας διὰ χρησέρης, τοῦτο διδόναι [5] ἐν οἴνῳ μέλανι εὐώδει κεκρημένῳ. Ἢν δὲ ὑποστρέφῃ ἡ νοῦσος, πυριῆσαι αὐτὴν ὅλην, καὶ αὖθις φαρμάκοισι καθῆραι κάτω, καὶ μετὰ τοῦτο κλύσαι τὰς ὑστέρας, ἢν μὲν φύσει [6] ᾖ φλεγματώδης, τῷ κόκκῳ τῷ κνιδίῳ, ἢ τῇ ῥίζῃ τῆς θαψίης, ἢν δὲ χολώδης ᾖ, τῆς σκαμμωνίης τῷ ὀπῷ, ἢ κολοκυνθίδι τῇ ἀγρίῃ, κόψας, ἐπιχέας δύο κοτύλας ὕδατος, ἀφεψεῖν ἐς τὸ ἥμισυ, τουτέῳ ξυμμίσγειν μέλι καὶ ἔλαιον [7] ναρκίσσινον ἢ ἄνθινον· ἔστω δὲ τοῦ μὲν μέλιτος τεταρτημόριον κοτύλης, τοῦ δὲ ἐλαίου μέτρον ἡμιόλιον τοῦ μέλιτος· μετακλύζειν δὲ τῷ μέλιτι καὶ τῷ οἴνῳ καὶ τῷ ἐλαίῳ μούνῳ, καὶ [8] θυμιῆσθαι, καὶ ἐπισχεῖν ἡμέρας τρεῖς ἢ τέσσαρας· ἀδίαντον δὲ πινέτω. Καὶ ἢν [9] μὴ ἐν γαστρὶ λάβηται,

[1] Ἐὰν C. – φαρμακοπωσίης θ. – ἀναλαμβάνειν vulg. – ἀναλαβεῖν θ. – βόϊον θ. — [2] γε om. C (D, restit. al. manu) θ. – φλεγματώδη θ. – χρῆσθαι θ. – γαλακτοποτῇ Cθ. — [3] καὶ ἄρχ. δὲ C. – ἔρχεσθαι Ald. – δ' θ. – ἢ καὶ πρ. C. – προστιθέτω θ. – κοτύλη C. – ἐκ. ἡμ. om. C. – ἡμέρας vulg. – ἡμέρης DFHIKθ. – ἄχρι θ. – καὶ ἐκ τοῦ θ. – τοὔλασσον θ. – γαλακτοπωσίην θ. — [4] τοῦ γ. τὴν πόσι (sic) θ. – ἀδ. ξηρήνας (ξηρήνασα Cθ; ξηρὸν Q'; ξηρὴν ἣν DFGHIJK) κοψάτω (κ. om. θ) καὶ διασήσας (διασῆσαι C; διασήσασα θ) δι' (ἐξ pro δι' J) ἀκρῆς αἰρῆς (ἀκρησαίρης C) (διακρησερης sic θ; διὰ χρησέρης conjicit Foes; διὰ κνησέρης Lind.) vulg. – Erot., p. 232: κνησέρης, κνησέρα λέγεται ῥάκος χονδρὸν καὶ ἀραιὸν, δι' οὗ διηθοῦσί τινα ὡς δι' ἠθμοῦ· μέμνηται καὶ Ἀριστοφάνης ἐν ἀττικαῖς λέξεσι. – Gal. Gl.: κρησέρα, ἡ τοῦ ἀλεύρου πτίσις ὀνομαζομένη· μάρσιππος δέ τίς ἐστιν αὐτὴ λινοῦς. – διὰ χρησαίρης Mercur. in marg. — [5] ἐπ' οἴ. μ. οἰνώδει θ. – κεκρημένω εὐώδει DH. – κεκραμένῳ vulg. – κεκρημένω CIJ. – δ' θ. – ὑποστρεφέη (sic) J. – ὑποστροφῇ C. – πυριάσαι θ. –

pas. Quand, par ces moyens, elle paraît devenue plus sèche, faire des injections utérines avec la lie ; puis, après une intermission de trois ou quatre jours, faire une injection astringente ; nouvelle intermission, et, si la femme est sèche, se tenir tranquille.[6] Est-elle de constitution bilieuse ou pituiteuse, et, amaigrie par le régime et la purgation, est-elle hors d'état de reprendre de l'embonpoint, elle boira, pendant quarante jours, du lait chaud sortant du pis de la vache. Pour la constitution pituiteuse, il vaut mieux prendre aussi peu d'aliments que possible, durant l'usage du lait. La quantité de lait est de six cotyles attiques (*cot.* = 0[litre],27) ; on commence par deux, et on ajoute une cotyle chaque jour jusqu'à six, puis de là peu à peu jusqu'à la dose du début. Après cette cure par le lait, on la restaure par les aliments et le régime. Le lait étant bu, elle boira le matin à jeun de l'adiante, séchée, broyée et tamisée ; cela se prend dans du vin noir, de bonne odeur, coupé d'eau. Si la maladie revient, on administrera une fumigation générale, et de nouveau on purgera par le bas, puis on fera des injections utérines, si la constitution est pituiteuse, avec le grain de Cnide ou la racine de thapsie ; si elle est bilieuse, avec le suc de scammonée ou la coloquinte ; piler, verser deux cotyles d'eau, faire bouillir jusqu'à réduction de moitié, ajouter miel et huile de narcisse ou de lis ; miel, un quart de cotyle, huile la moitié du miel ; puis faire une contre-injection avec le miel, le vin et l'huile seuls, donner une fumigation, interrompre trois ou quatre jours ; et boire de l'adiante. Si la femme ne

αὖθις om. θ. — [6] ᾖ CFGIJQ'θ, Ald., Lind. - ᾖ om. vulg. - κνηδίῳ FGI, Ald. - ἀγρίῃ, ἐμβαλὼν γὰρ ἀπ' αὐτέης καὶ δύο κοτύλας ἐπιχέας ὕδατος ἀφεψεῖν, καὶ τὸ (τῷ Lind.) ἥμισυ τουτέῳ (τουτέου Lind.) συμμίσγειν (ξ. D, Lind.) μέλι vulg. - κόψας ἐπιχέας δύο (δύο ἐπ. θ) κοτύλας ὕδατος ἀφυψεῖν (sic) (ἀφεψεῖν θ) τὸ ἥμισυ τουτέῳ (τούτῳ θ) ξυμμίσγει (ξυνμίσγειν θ) μέλι Cθ. - Je lis ἐς τὸ ἥμισυ. — [7] ναρκίσινον C. - ἔστω δὲ om. K. - τετάρτημορον (sic) θ. - ἡμιόλ. καὶ (καὶ om. CDHθ, Ald.) τοῦ (τοῦ om. C) vulg. - τῷ οἴ. καὶ τῷ μέλιτι Cθ. — [8] θυμιῆσαι θ. - τέτταρας vulg. - τέσσερας θ. - τέσσαρας C. - ἐπιπινέτω L. — [9] μὴ θ, Cornar. - μὴ om. vulg. - ἐν τῇ γ. C. - βάλληται GK. - βάληται DIJ. λάβῃ θ. - ὑποστρέφῃ H. - ὑποστρέφει ἡ νοῦσος καὶ ἀπόλλυνται θ. - ὑποστρέφει, ὑποστρέφουσα ἡ νοῦσος καὶ ἀπόλλυται C.

ὑποστρέφει, καὶ ὑποστρεφομένης τῆς νούσου ἀπόλλυται. [1] Ὁκόσας γεραιτέρας λαμβάνει ἡ νοῦσος αὕτη, κατασήπονται αἱ ὑστέραι, ἐκφεύγουσι δὲ πάνυ ὀλίγαι.

119. Ῥόος ἄλλος· καθαίρεται οἷόν περ ἐξ ὠοῦ ὠμοῦ, [2] χλωρὸν ὑπόλευκον, καὶ ἑλκοῖ τὸ αἰδοῖον, καὶ οἰδίσκεται τούς τε πόδας καὶ τὰς κνήμας, καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ἐπανοιδέει, καὶ [3] οἱ ὀφθαλμοὶ ὑγροὶ γλαμυροὶ, καὶ ἢν βαδίζῃ, ἆσθμά μιν λαμβάνει, καὶ ἀσθενείη γίνεται. [4] Ἡ δὲ νοῦσος φύσει φλεγματώδης· καὶ ἢν μὴ καθαρθῇ, πυρετήνῃ δὲ χολῆς κινηθείσης, φλαῦρον· γεραιτέρας δὲ ἡ νοῦσος αὕτη λαμβάνει μᾶλλον ἢ νεωτέρας. [5] Ὁκόταν δὲ ὧδε ἔχῃ, ἢν μὲν ἀνοιδήσῃ σφόδρα, διδόναι κάτω φάρμακον πιεῖν ὅ τι φλέγμα καὶ χολὴν [6] ἰνήσεται· ἢν δὲ μὴ ἰσχυρῶς οἰδέῃ καὶ τὸ φλέγμα αὐτὴν πιέζῃ, ἄνω δοῦναι φάρμακον· καὶ ἢν [7] μὲν ᾖ δυνατὴ, ἐλλεβόρῳ καθαιρέσθω· ἢν δὲ μὴ, ὅ τι χολὴν καὶ φλέγμα ἄγει· μετὰ δὲ [8] τὰ φάρμακα ὀῤῥὸν ἑφθὸν διδόναι πίνειν ὡς πλείστας ἡμέρας [9] ξὺν ἁλὶ ὀλίγῳ· ἐπιτρωγέτω δὲ ἡδύοσμον, ἑσπέρην δὲ σίτου μὴ ἁπτέσθω, ῥοφεέτω δὲ ὀλίγον, καὶ ἐπιπινέτω οἶνον γλυκὺν, ἢν χρήζῃ· ἢν δὲ μὴ [10] παρῇ, ὀῤῥόν· γάλα τε ὄνειον ἀφεψῆσαι, καὶ διδόναι τέσσαρας ἡμέρας· ἑσπέρην δὲ ταῦτα ποιέειν, ἢν μὴ πῦρ ἔχῃ νύκτωρ. Ἢν δὲ ᾖ φύσει σπληνώδης, [11] πνευματώδης, λείφαιμος, μήτε ὀῤῥὸν μήτε γάλα διδόναι, ἢν φυσῇ· ἢν δὲ μὴ, κατωτερικοῖσι καθαίρειν. Καὶ ἐπειδάν σοι δοκέῃ καιρὸς εἶναι, κλύσαι τὰς μήτρας, πρῶτον μὲν [12] τῷ ἀπὸ τῆς τρυγὸς δὶς ἢ τρὶς, μετὰ δὲ τοῦτο τῷ ὀπῷ τῆς σκαμμωνίης, οἶνον δὲ ἐπιχέαι γλυκὺν

[1] Ὀκόσας C (D, al. manu ὀκόταν) FGHIJK, Vatic. Codd. ap. Foes. – ὅσας θ. – ὀκόταν vulg. – ὀκόταν δὲ Lind. – γὰρ ἑτέρας pro γερ. (D, emend. al. manu) FGHIJKLQ', Vatic. Codd. ap. Foes. – καὶ κατασ. vulg. – Je retranche ce καί. – Ante ἐκφ. addit καὶ D. – ἐκφεύγουσαι C. – δ' θ. – πάνυ om. Cθ. — [2] χλωροῦ D. – λευκὸν ὑπόχλωρον C. – καὶ τοὺς πόδας καὶ C. – τε om. θ. — [3] οἱ om. θ. – λαμυροὶ GHIJK. — [4] ἢν δὲ φύγῃ (φεύγῃ C), ἡ νοῦσος φλεγματώδης ᾖ, καὶ (καὶ om. C) ἢν vulg. – ἡ δὲ νοῦσος φύσει φλεγματώδης, καὶ ἢν θ. – πυρετήνει (πυρετήνῃ J; πυρετήνασα C) λαύρως (λ. om. C) χ. (addit δὲ C) κιν. vulg. – πυρετήνῃ δὲ χολῆς κινηθήσης θ. – φλαῦρον Cθ. – φλ. om. vulg. – μᾶλλον om. (D, restit. al. manu) FGHIKθ. — [5] ὅταν θ. – δὲ om. CDHIJ, Ald. – ἀνοιδέῃ θ. – Ante φλέγμα addit φάρμακον D. — [6] ἴῆται vulg. – ἰήσεται Cθ. – Lisez ἰνήσεται. — [7] μὲν ᾖ om. G. – δυνατὸν J. – ἐλεβόρῳ K. – ἐλλέβορον θ. – καθαιρ. om. Cθ. – φλ. κ. χ. J. — [8] τὰ CFHIJKθ, Lind. – τὰ om. vulg. – ὅρον θ. — [9] σὺν θ. – ὀλίγῃ FI. – ἐπιτρογέτω Ald. – ἡδίοσμον J. – ἐς ἑσπ. δὲ σ. μὴ ἀπεχέσθω, ῥυφείτω θ. – χρίζῃ θ. — [10] παρρῇ H. – παρήορος

devient pas grosse, il y a récidive, et la récidive l'emporte. Quand cette affection attaque des femmes d'un certain âge, l'utérus se corrompt, et très-peu en réchappent.

119. (*Autre leucorrhée.*) Autre écoulement : le flux est comme d'un œuf cru, jaune, blanchâtre, les parties génitales s'ulcèrent, les pieds et les jambes enflent, le dessous des yeux se tuméfie, les yeux sont humides, chassieux ; si la femme marche, elle s'essoufle, et se sent faible. Cette maladie est de nature pituiteuse; et, s'il n'y a pas de purgation et que la fièvre survienne, la bile étant mise en mouvement, cela est mauvais. Elle attaque plutôt les femmes d'un certain âge que les jeunes. Les choses étant ainsi, si la malade est très-enflée, donner à boire un purgatif évacuant la pituite et la bile ; si le gonflement n'est pas considérable et que la pituite soit ce qui l'accable, donner un évacuant par le haut. Les forces le permettant, évacuer avec l'ellébore; sinon, avec ce qui emmène la bile et la pituite; après les évacuants, administrer le petit lait cuit, avec un peu de sel, autant de jours qu'il se pourra ; elle mangera de la menthe, le soir elle ne touchera pas aux aliments solides, prendra un peu de potage, et, par-dessus, boira du vin doux s'il est nécessaire ; à défaut de vin, du petit lait ; elle fera cuire du lait d'ânesse et en prendra pendant quatre jours. Voilà ce qu'il faut faire le soir, à moins qu'il n'y ait de la fièvre la nuit. Si la femme a par constitution la rate malade, si elle est sujette aux flatuosités, si le sang lui manque, elle ne boira ni petit lait, ni lait, en cas qu'il cause des flatuosités ; et alors on purgera avec des évacuants. Quand le moment vous paraîtra venu, vous ferez des injections utérines d'abord avec la préparation à la lie deux ou trois fois, puis avec le suc de

pro π. ὁ. C. - ὅρος θ. - τε om. Cθ. - ὅλον θ. - ἐς ἑσπ. δὲ τ. ποιεῖν θ. — [11] ἢ (ἢ om. θ) πν. vulg. - Ante λ. addit ἢ K, Lind. - αιφαιμος (sic) θ. - λίφαιμος CFIJK. - γάλα πινέτω, ἢν δὲ μὴ vulg. - γάλα διδόναι ἢν φυσῇ (θ, φύσει ᾖ), ἢν δὲ μὴ Cθ. - κατ. φαρμάκοισι καθ. θ. - πρῶτα DIJK. - πρώτῳ Ald. — [12] τὸ DFGHIJK. - τοῦτο om. θ. - τοῦ ὀποῦ (τῷ ὀπτῷ θ) vulg. - Lisez ὀπῷ. - δ' Cθ. - ναρκισσίνου C. - εἰ δὲ μὴ, ἀνθίνου θ. - εἰ δ. μ. ἀ. om. vulg. - ὑστερέῃ C. - οἴνου θ.

ὅσον κοτύλην ἀττικὴν καὶ ἐλαίου τέταρτον μέρος κοτύλης, μάλιστα μὲν ναρκισσίνου, εἰ δὲ μὴ, ἀνθίνου· μετακλύσαι δὲ τῇ ὑστεραίῃ οἴνῳ κοτύλῃ, [1] καὶ μέλιτι τετάρτῳ κοτύλης, καὶ ῥητίνῃ τρίτην μοίρην μέλιτος, ἔλαιον δὲ ἴσον μέλιτι. Ἢν δὲ [2] τὰ ἀπὸ τοῦ κλυσμοῦ ἀποχωρεῦντα ᾖ φλεγματώδεα, κλύσαι αὖθις ἐπισχόντα ἡμέρας τρεῖς ἢ τέσσαρας, ἐκλέψαντα τοῦ κόκκου δύο πόσιας· μετακλύζειν δὲ τοῖσιν αὐτέοισιν· ἢν δὲ μὴ παρῇ κόκκος, τῇ ῥίζῃ τῆς θαψίης [3] πόσιν μίαν, καὶ μετακλύζειν τοῖσιν αὐτέοισιν· ἐπὴν δὲ καθαρθῇ τὰ ὑποχωρεῦντα πρὸς τούτους τοὺς κλυσμοὺς, καὶ ἢν [4] γίνηταί τι αἱματῶδες, οἷον ἀφ' ἕλκεος, μετακλύζειν τοῖσι στρυφνοῖσιν. Καὶ ἢν μετὰ ταῦτα αὐτὴ ἐρωτηθεῖσα φῇ τὸ στόμα τῶν ὑστερέων σκληρὸν εἶναι καὶ ὀδύνην ἔχειν, κλύζειν τὸν αὐτὸν τρόπον [5] τῷ ξὺν τῷ πικερίῳ, ἔστ' ἂν ἀποξηρανθέωσιν αἱ ὑστέραι καὶ δοκέῃ ὑγιὴς εἶναι· τὰς δὲ μεταξὺ ἡμέρας τῶν κλυσμῶν πινέτω ἀκτῆς καρπὸν καὶ λαγωοῦ πυτίην καὶ μήκωνος τὸ κέλυφος καὶ κνίδης καρπὸν, ῥοιῆς [6] τε γλυκείης τὸν φλοιὸν, τρίβων ἴσον ἑκάστου· ἄλφιτον δὲ [7] ξυμμίσγειν καὶ ἀδίαντον, ἐν οἴνῳ μέλανι εὐώδει νῆστις· σιτίοισι δὲ χρεέσθω μαλθακοῖσι [8] μὴ ἁλμυροῖσι, μηδὲ δριμέσι· κρέα δὲ ἀμείνω ἰχθύων, ἤγουν ὀρνίθια, ἢ λαγῶα, καὶ λουέσθω θερμῷ μὴ πολλῷ. Ἢν δὲ μὴ [9] λωφήσῃ ὁ ῥόος, ἀλλ' ὑπολείπηται, καὶ ὑγράζωνται αἱ ὑστέραι, θυμιῆσαι τῷ ξὺν τῷ σιδίῳ, καὶ ἔπειτα παρὰ τὸν ἄνδρα ἴτω· [10] κἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. Αἱ δὲ γεραίτεραι οὐ δύνανται ἀναφέρειν, ἀλλ' ἀπόλλυνται ὑπὸ ἀσθενείης.

120. [11] Ῥόος ἄλλος· ῥέει ὑπόχλωρον οἷον ἐξ ᾠοῦ, καὶ γλίσχρον,

- ἔγχεον δὲ sine καὶ C (θ, δ'). — [15] χηραμίδα DFHIJK, Lind. - ἀμύλεον DFG HIK. - ἀμύελον J. - ἀμ. om. C. - οἴνῳ pro εἰρίῳ C. — [16] ἄ. ἔγ. ὁ. om. L, Lind. - ῥόου ὑδατώδεος ἔγχυτον pro ἄ. ἔ. ὁ. C (θ, ὕδατος). - ἔγχ. ὁμ. om. D. - ὅμοιον J. - ὅταν θ. - πέταλλα K. - ἐνιέναι θ. - ἐγχέαι DQ'. - προσθεῖναι pro κλ. ἐνεῖναι Vatic. Codd. ap. Foes.

ὁκόταν ὕδωρ ἐκ τοῦ αἰδοίου ῥέῃ, μυρίκης πέταλα καὶ λιβανωτοῦ καρπὸν ἐν χηνὸς στέατι τρίψας καὶ ῥητίνην, ἐς τὰ αἰδοῖα κλυστῆρι ἐνεῖναι.

198. [1]Ἢν ὑπὸ ῥόου ὑδατώδεος τὸ ἦτρον ἀλγέῃ, λίνου καρπὸν τρῖψαι ἐν μέλιτι, καὶ καταπλάττειν τὸ ἦτρον καλῶς.

199. [2]Ἢν ῥόος αἱματώδης, ἢ λευκὸς, ἢ ὁποῖος ἂν ᾖ· θεῖον καὶ μανδραγόρου τὸ ἄκρητον ἀναλαβόντα εἰρίῳ προσθεῖναι, καὶ ὑπτίη εὑδέτω, καὶ ἀκίνητος μενέτω. Ἢ σίδια ξηρὰ τρίβειν ἐν οἴνῳ [3]πραμνίῳ καὶ διδόναι πίνειν. Ῥόου λευκοῦ ποτόν· κισσοῦ λευκοῦ τὸ σπέρμα καὶ πίτυος [4]φλοιὸν ἐν οἴνῳ αὐστηρῷ παρέχειν. Ἢ ἐλάφου κέρας κατακαῦσαι [5]μοῖραν, ὠμηλύσιος δὲ δύο μοίρας καὶ κεδρίδας πέντε, τρίβειν ἐν ὕδατι, καὶ πίνειν.

200. Ὅταν πνίγηται [6]ὑπὸ ὑστερέων· κάστορα καὶ κόνυζαν ἐν οἴνῳ χωρὶς καὶ ἐν ταὐτῷ πινέτω. [7]Ἢ ἀσφάλτου ὅσον τριώβολον, ἢ φώκης στέαρ ὅσον δὴ τῷ δακτύλῳ λαβεῖν. [8]Ῥίζης γλυκυσίδης ὅσον ἥμισυ πόσιος ἐν οἴνῳ εὐώδει διδόναι πίνειν. Ὅταν [9]δὲ πνίγωσι καὶ ὁμοῦ βήσσῃ, σανδαράχης ὅσον ὀβολὸν καὶ θείου ἀπύρου ἴσον καὶ ἀμύγδαλα πικρὰ καθήραντα ξυμμίσγειν τρία ἢ τέσσαρα, καὶ διδόναι ἐν οἴνῳ εὐώδει. Ἢν δέ [10]γε προσίσχωσιν αἱ ὑστέραι, κριθὰς τρίψας λεῖα ξὺν τοῖσιν ἀχύροισι καὶ κέρας ἐλάφου, ἐλαίῳ δεύσας, ὑποθυμιήσθω. Ὅταν [11]δὲ ἄνω ᾖ, καὶ θλίβηται καρδίη καὶ στόμαχος καὶ ὑπομένωσι, σμύρνην, ἢ ῥητίνην, ἢ νέτωπον, ἢ κάστορα, ἢ ὀπὸν σιλφίου πῖσαι.

[1] Θεραπεῖα τοῦ ἤτρου D (Q', ἰητροῦ). – ἢν ὑπὸ om. Cθ. – ὑδατόδεος F. – ὑδατοειδέος θ. – ἀλγέει CKθ. – ἄγνου vulg. – λίνου θ. – καὶ om. θ. – καταπλάσαι C. – καλῶς om. Cθ. — [2] ἢν om. Cθ. – ἢν.... ὁποῖος ἂν ᾖ om. L. – Post αἱμ. addit ᾖ Lind. – ἂν ἧ D. – ἂν ᾖ om. vulg. – Ante θεῖον addit ποῖον (sic) C. – θίον θ. – μανδραγόραν ἐν ἀκρήτῳ τρίβειν pro μ. τὸ ἄ. Foes in not., Lind. – τῶ ἀκρήτω Cθ. – εἰρίον Cθ. – μενέτω om. Cθ. — [3] πραμίω FGI. — [4] φλοιὸς Cθ. – ποτὸν pro παρέχειν Cθ. — [5] μοίραν HIθ. – ὁμιλύσιος FGIJ. – ὠμῆ λύσεως C. – ἐν ὕδατι τρίβειν θ. – ἐν om. vulg. — [6] ἀπὸ Cθ. – ὑστερέων C. – ὑστερῶν vulg. – χωρὶς ἐν οἴνω καὶ ἐν τῶ αὐτῶ Cθ. – ἐν post καὶ om. DFGHIJK. – πινέτω ἑκάτερον (ἑκ. om. Cθ) vulg. — [7] ἢ θ. – ἢ om. vulg. – ὅσον om. DFGK. – τριόβολον FGI, Ald., Frob. – ἢ om. θ. – ὅσον δὶς (δὴ pro δὶς D) τῷ vulg. — [8] [ἢ] ῥ. Lind. – ῥίζην C. – ῥίζαν θ. – γλυκυσίδος G. – γλυκισίδης θ. – διδ. π. om. Cθ. — [9] δὲ om. Cθ. – σανδαράκης Cθ. – σανδαράχνης FGI. – σανδράχνης J, Ald. – θίου θ. – καθάραντα J. – συμμ. vulg. – ξυμμ. DFGHIJK, Ald. – ξυμίσγειν C. – τέτταρα DFGHIJK. — [10] γε om. Cθ. – προΐσχωσιν DFGHIJK. – κριθὴν τρ. λείαν J. – τρίψασα C. – λίας θ. – σὺν Jθ. – τοῖς DFIJK. – ἀλεύροισι vulg. – ἀχύροισι θ, Foes in not., Lind. – ἐλάφου κέρας Cθ. – ἐλ. δεύ-

cheramys (= $0^{\text{litre}},009$), ou amidon, appliquer dans de la laine à l'orifice utérin. Autre infusion semblablement : quand de l'eau s'écoule des parties génitales, feuilles de myrice, fruit de l'arbre à encens, piler dans de la graisse d'oie avec de la résine, et injecter dans les parties génitales à l'aide d'une seringue.

198. (*Cataplasme pour la douleur en cas d'écoulement aqueux.*) Si, en raison d'un flux aqueux, le bas-ventre est douloureux, piler dans du miel la graine de lin, et en faire un bon cataplasme sur le bas-ventre.

199. (*Recettes pour un flux rouge ou blanc.*) Pour un flux sanguinolent, ou blanc, ou quel qu'il soit : soufre et suc pur de mandragore, prendre dans de la laine et appliquer; la femme dormira sur le dos et restera immobile. Ou bien, écorces sèches de grenade, broyer dans du vin de Pramne, et donner à boire. Breuvage pour l'écoulement blanc : graine de lierre blanc, écorce de pin, donner à boire dans du vin astringent. Ou bien, corne de cerf brûlée une partie, farine d'orge crue deux parties, cinq baies de cédros, broyer dans l'eau et boire.

200. (*Formules de breuvages en cas de suffocation hystérique.*) En cas de suffocation par la matrice : castoréum et conyza, boire séparément et ensemble dans du vin. Ou bien, asphalte trois oboles, ou graisse de phoque une pincée. Racine de pivoine une demi-potion, donner à boire dans du vin odorant. Quand la matrice cause de la suffocation et qu'il y a toux en même temps, sandaraque une obole, soufre qui n'a pas subi le feu autant, amandes amères nettoyées trois ou quatre, mêler, et donner dans du vin odorant. Si la matrice se fixe en un point, orge avec sa paille, corne de cerf, piler, mouiller avec de l'huile, et donner la fumigation. Quand elle est en haut, qu'elle presse le cœur et l'œsophage, et qu'elle demeure fixée, myrrhe ou résine, ou nétopon, ou castoréum, ou suc de silphion, prendre en boisson.

σας om. C. - δεύσασα θ. - ὑποθυμιῆν C. — [11] δὲ om. Cθ. - καρδίη Cθ. - καρδία vulg. - σμύρναν θ. - νέτοπον G.

201. Ὅταν [1]ὑστέρη πνίγῃ, πνεῦμα δὲ σεύηται αλες ἄνω, καὶ βάρος ἔχῃ, καὶ γνώμη καταπλὴξ, ἀναυδίη, περίψυξις, [2]πνεῦμα προσπταῖον, ὄμματα ἀμαλδύνηται, τὴν κεφαλὴν ξυρῇν ὅτι τάχιστα, καὶ ταινίῃ ἀποδιωθέειν, ὑπὲρ ὀμφαλὸν δὲ εἱλέειν· διδόναι [3]δὲ καστόριον καὶ κόνυζαν [4]καὶ πηγάνου ὕδωρ, κύμινον αἰθιοπικὸν, ῥαφάνου σπέρμα, θεῖον, σμύρνην· πρὸς δὲ τὰς ῥῖνας τὰ κάκοδμα, εὔοδμα δὲ ἐς τὰς ὑστέρας· [5]ἢν δὲ ἀνέχηται, κόκκου τὸ ἔνδον τὸ λευκὸν μέλιτι μίξας, ἀλείφειν τὴν ῥῖνα. Ἢ [6]σχῖνον τριπτὴν, ἵνα δάκνηται. Ὅταν [7]δὲ ὀδύνη ἔχῃ καὶ πνίγηται, μαλάχης ῥίζαν, ἢ ὀξύμελι ἢ φλοιὸν μαράθου καὶ κρῆθμον ἐν ὕδατι δοῦναι πίνειν, ἄριστον [8]δὲ ἐρυγγάνειν καὶ διαναχαθίζειν· ἢ [9]ἐλλεβόρῳ πταρμὸν ποιέειν, καὶ προσίσχειν πρὸς τὰς ῥῖνας. Ἢν [10]δὲ ὑπὸ τὰς φρένας δοκέωσιν ἵζεσθαι, ἐξαπίνης ἄφωνος γίνεται, ὑποχόνδρια σκληρὰ, καὶ πνίγεται, καὶ τοὺς ὀδόντας συνερείδει, καὶ οὐχ ὑπακούει καλεομένη· δεῖ οὖν ὑποθυμιῆν ὑπὸ τὰς ῥῖνας, εἴριον κατακαίων, ἄσφαλτον ἐς πῦρ ἐμβάλλων [11]καὶ καστόριον [12]καὶ θεῖον [13]καὶ πίσσαν· βουβῶνας δὲ καὶ μηροὺς μύρῳ ἔνδοθεν εὐωδεστάτῳ χρίειν· ἢ ἀστέρας τοὺς [14]θαλασσίους τοὺς μέλανας καὶ κράμβην μίξας ἐν οἴνῳ εὐώδει πινέτω. [15]Ἢ σμύρνης τριώβολον, κορίανον ὀλίγον, ῥητίνην, γλυκυσίδης ῥίζαν, κύμινον αἰθιοπικὸν, ταῦτα τρίψας ἐν οἴνῳ λευκῷ, [16]καὶ ὕδατι ἢ μελικρήτῳ διέντα, πίνειν ἀκροχλίερον. [17]Βοηθέει δὲ καὶ τὸ πευκέδανον, ἀριστολοχία, κρομμύου δά-

[1] Ὑστέρα vulg. – ὑστέρη K. – πνεῦμα δὲ σέβηται (δ' ἐσέβηται DFGHIJK; δευσέβηται sic L; δὲ σεύηται θ, Lind.) vulg. — [2] πν.... περίψυξις om. C. – πρόσπαιον C. – προσπαῖον θ. – [καὶ] ὄμμ.. Lind. – ἀμαλδύνεται vulg. – ἀμαλδύνηται θ. – τὴν om. Cθ. – ξυρᾶν θ. – ξηρῆν C. – τάχος CDFGHIJKθ, Ald. – ταινίῃ om. θ. – ἀποδιωθεῖν vulg. – ἀποδιωθεῖ C. – ἀποδιωθέειν θ. – ὀμφ. (ὀμφαλοῦ θ) δὲ (δὲ om. Lind.) εἰ δεῖ (οἰδεῖ DHJ; εἴδει C; εἱλέειν θ) vulg. — [3] δὲ καὶ (καὶ om. CDHIJθ, Ald., Lind.) vulg. – κόνιζαν CI. — [4] καὶ om. Cθ. – θίον θ. – σμύρνης G. – σμύρναν CJ. – δ' C. – ὡς pro ἐς θ. — [5] ἂν vulg. – ἢν θ. – ἀν. (ἀνίσχηται θ), καὶ (καὶ om. θ) κόχλου (κρόκου θ; κόκου J; κόκκου Foes in not., Lind.) vulg. – μέλ. δεύσας καὶ (δ. καὶ om. Cθ) μίξας vulg. – ῥίναν (sic) θ. — [6] σχίνον K. – λεπτὴν vulg. – τριπτὴν θ. – Gal. Gl. : σχῖνον, οὐ μόνον τὸ θαμνῶδες φυτὸν, ἀλλὰ καὶ εἶδός τι σκίλλης, εἰ μὴ ἄρα καὶ πάσης σκίλλης τὸν βολβόν. – ἢν (ἂν C; ἵνα θ) δάκν. vulg. — [7] δὲ om. Cθ. – ὀξόμελι C. – μαράθρου D. – κριθμὸν D. – κρηθμὸν vulg. – πιεῖν θ. — [8] δὲ om. Cθ. – ἀνακαθίζειν θ. — [9] ἐλλέβορον (ἐλλεβόρω θ) καὶ (καὶ om. θ) πτ. vulg. — [10] δ' Cθ. – τὰς om. Cθ. – ἵζεσθαι FK. – ξηρὰ pro σκλ. C. – συνερίδει Cθ. – οὐκ Ald., Frob., Foes, Lind. – δεῖ οὖν om. Cθ. – γοῦν J. – ὑποθυμιήν C. – ὑποθυμιᾶν

201. (*Autres détails sur la suffocation hystérique, et sur tout ce que l'auteur entend par déplacements de la matrice, qui va se fixer sur le cœur, le foie, les hypocondres, etc. Traitement.*) Quand la matrice cause de la suffocation, le soufle se précipite impétueusement en haut, pesanteur, intelligence dans la stupeur, perte de la parole, refroidissement, respiration entrecoupée, œil obscurci : dans ce cas, raser la tête au plus vite, et repousser la matrice à l'aide d'un bandage qu'on roule au-dessus de l'ombilic; donner le castoréum, la conyza, l'eau de rue, le cumin d'Éthiopie, la graine de raifort, le soufre, la myrrhe; faire des fumigations fétides sous les narines, aromatiques sous les parties génitales; si cela persiste, prendre le dedans, le blanc du grain de Cnide, mêler avec du miel et enduire les narines; ou bien, scille broyée, afin que cela cause un sentiment de morsure. Quand il y a douleur et suffocation, racine de mauve, ou oxymel, ou écorce de fenouil, et crethmos (*crithmum maritimum*), donner à boire dans de l'eau; il est très-bon de provoquer des éructations et de se tenir sur son séant. Ou bien, provoquer l'éternuement avec l'ellébore, appliqué aux narines. Si la matrice paraît se fixer sous les phrènes (*diaphragme*), la femme perd aussitôt la voix, les hypocondres sont durs, elle étouffe, les dents sont serrées, et elle n'entend pas quand on l'appelle. Il faut faire une fumigation sous les narines, brûlant de la laine, jetant dans le feu de l'asphalte, du castoréum, du soufre et de la poix; frotter les aines et les cuisses à l'intérieur avec un parfum de très-bonne odeur; ou bien, mêler des étoiles noires de mer et du chou, et donner à boire dans du vin

θ. - καὶ ἄσφ. L, Lind. - ἐς om. (F, restit. al. manu) J. - ἐς πῦρ repetitur C. — [11] καὶ om. Cθ. — [12] καὶ om. Cθ. - θίον θ. — [13] καὶ om. Cθ. — [14] θαλαττίους vulg. - θαλασσίους Cθ. - τοὺς om. C. - ἐν οἴ. εὐώ. Cθ. - εὐ. οἴ. sine ἐν vulg. — [15] ἢ om. C. - ὡς τριώβολον θ. - τριόβολον F, Ald., Frob. - κόριον C. - κορίαννον θ. - κορύανον FG, Ald., Frob. - ἢ κορ. J. — [16] καὶ om. θ. - πιεῖν θ. - Post π. addunt θερμαίνοντα Cθ. - ἀκροχλιαρὸν θ. - ἀκροχλίηρον CJ. — [17] βοηθεῖ vulg. - βοηθέει θ. - καὶ τὸ om. C. - καὶ om. θ. - πευκεδανὸν vulg. - πευκέδανον D. - ἀκροχλίηρον CJ. - ἀκροχλίαρον θ. - διδόναι Cθ.

χρυον, πάνακες, ἐν οἴνῳ ἢ ὕδατι, ἀκροχλίερον διδόμενον. Ὑστέρας [1] ἐς χώρην ἄγει, τοῦ κρότωνος ῥίζα πινομένη, ἢ κύμινον αἰθιοπικὸν, ἢ σέλινον, ἢ μαράθρου σπέρμα καὶ ἀννήσου, πέπερι ἢ σμύρνα, καὶ ὀπὸς μήκωνος πινόμενος. Ἢν ἡ [2] καρδίη πνίγηται ὑπὸ ὑστέρης, ἀναθλίβεται, καὶ πνεῦμα ἔχει καὶ ἆσθμα· δεῖ τὸν καρπὸν τῆς ἄγνου καὶ γλυκυσίδης ἐν οἴνῳ πίνειν, ἢ ἀβρότονον, καὶ πάνακες, [3] καὶ ἀμμωνιακὸν, ἢ πήγανον, [4] ἢ ὑπνωτικὸν μηκώνιον. [5] Πάλιν οὖν εἰ ὁμοίως ἔχει, μελάνθιον τρίβειν λεῖον, [6] καὶ μέλιτι δεύειν, καὶ ποιέειν οἷον βάλανον, καὶ πρὸς τῷ πτερῷ προστιθέναι· ἢ φιλίστιον ὁμοίως προστίθει· ἢ τηλέφιον, ἢ ἀνεμώνης φύλλα τρίψας, ἔνθες ἐς τρυχίον, καὶ σμύρνην σμικρὴν ξυμμίσγειν. [7] Ἢν ἐς τὴν ὀσφὺν αἱ ὑστέραι καταστηρίξωσι, μὴ ψαύῃ δὲ τῆς κεφαλῆς ἡ πνὶξ, ἐσθιέτω πουλύποδας ἐφθοὺς, καὶ οἶνον πινέτω μέλανα εὐώδεα ἄκρητον ὡς πλεῖστον. Ὅταν [8] δὲ ὡς πρὸς τὰ σπλάγχνα τραπεῖσαι πνίγωσιν, οἶνον κέδρινον καὶ κύμινον αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ πυριήσθω τὰ εὐώδεα.

202. Ἢν ἀνεμωθῶσιν αἱ ὑστέραι, [9] ἡδύσματα πάντα [ἃ] ἐς τὸ μύρον ἐμβάλλεται, καὶ δάφνη, καὶ μυρσίνη, καὶ ἐλελίσφακος, κέδρου τε πρίσματα καὶ κυπαρίσσου· ταῦτα κόψαι καὶ κατασῆσαι λεῖα, καὶ ἐπ' οἶνον εὔοδμον ἐπιπάσσειν, καὶ ἐπιχέαι ῥόδινον ἔλαιον.

203. Ὅταν [10] δὲ μετακινηθεῖσαι θλίβωσιν αἱ ὑστέραι, κριθὰς ξὺν

[1] Ἐσχάρην pro ἐς χ. K. – μαράθου CHIJθ. – ἀνίσου DHJ. – ἄνισσον C. – ἄννησον ἢ πέπ. θ. – ἢ ὀπὸς Cθ. — [2] καρδίη CDθ. – καρδία vulg. – πνίγηται CDFGHIJKθ, Lind. – πνίγεται vulg. – ἀναθλ. om. (D, al manu καὶ θλίβεται) FGHIJK. – καὶ θλίβεται L, Lind. – ἀναφλίβεται C, Ald. – ἀναφλίβεται πνεῦμα ἢ ὑγρὸν καὶ ἣν πλεύμονα ἔχῃ καὶ ἆσθμα τὸν καρπὸν θ. – καὶ om. C. – ἔχῃ DGHIJK. – δεῖ om. C. – ἄγνης FGIJK. — [3] ἢ pro καὶ θ. — [4] ἢ om. C. — [5] ἣν πνιγμὸς ἔχηται ὑπὸ ὑστερῶν pro πάλιν.... ἔχει C (θ, ἀπὸ ὑστερέων). – λίον θ. — [6] καὶ om. θ. – ποιῶν vulg. – ποιεῖν J. – οἷον βάλ. ποιέειν θ. – πρὸς om. θ. – τὸ pro τῷ J. – τιλέφιον FG. – τηλέφειον J. – τρύχινον vulg. – τρυχίον θ, Foes in not., Lind. – τρύχνιον FGHIKL. – στρύγχνιον (sic) J. – σμύρναν θ. – μικρὴν vulg. – σμ. JK. – συμμ. J. — [7] ἣν αἱ ὑστ. ἐς τὴν ὀσφῦν J. – πνῆξ θ. – πουλ. DFHIJK. – πολ. vulg. – ἐφθοὺς ὀπτοὺς θ. – εὐώδεα ponit post οἶνον C. – εὐώδη vulg. – εὐώδεα θ. – ὡς om. Cθ. — [8] δ' θ. – καὶ οἶνον (κύμινον Foes in not., Lind.) αἰθ. vulg. – λούσθω θ. – καὶ om. θ. – πυριάσθω vulg. – πυρίαμα θ. – πυρία C. – πυριήσθω D. – τε pro τὰ J. — [9] Gal. Gl. : καὶ τὰ ἀρώματα, ἡδύσματα. – J'ajoute [ἃ]; comp. p. 398, l. 14, et 404, l. 20. – μῦρον D. – μυρίνη CDFGIK, Ald. – μυρρίνη J. – καὶ κέδρου πρ. καὶ φύλλα κυπαρίσ-

odorant. Ou bien, myrrhe trois oboles, un peu de coriandre, résine, racine de pivoine, cumin d'Éthiopie, piler dans du vin blanc, mouiller avec de l'eau ou de l'hydromel, et boire légèrement tiède. On a aussi un secours dans le peucédanum, l'aristoloche, la larme de poireau, le panaces (*echinophora tenuifolia*), donnés légèrement tièdes dans le vin ou l'eau. Bon pour ramener la matrice à sa place, racine de ricin en boisson, cumin d'Éthiopie, ache, graine de fenouil et d'anis, poivre, myrrhe, suc de pavot en boisson. Si le cœur est suffoqué par la matrice, il est pressé, la respiration est difficile et fréquente. Il faut boire dans du vin la graine de vitex et de pivoine, ou l'aurone, ou le panaces (*echinophora tenuifolia*), la gomme ammoniaque, la rue, le suc du pavot somnifère. De rechef, si la femme se trouve dans le même état, broyer de la nielle, la mouiller avec du miel, en faire comme un gland, et appliquer avec la plume. Ou le philistion (*galium aparine*), appliquer de même. Ou le mélinet, ou les feuilles d'anémone, piler, mettre dans un chiffon, et mêler un peu de myrrhe. Si la matrice se fixe aux lombes, sans que l'étouffement touche la tête, la femme mangera des poulpes bouillis, et boira du vin noir, odorant, pur, en aussi grande quantité que possible. Quand, tournée sur les viscères, la matrice cause de la suffocation, boire du vin de cédros et du cumin d'Éthiopie, se laver à l'eau chaude, et prendre des fumigations aromatiques.

202. (*Matrice remplie de vent. Remède.*) Si la matrice se remplit de vent, tous les aromates qu'on met dans le parfum, plus laurier, myrte, sauge, sciure de cédros et de cyprès; piler le tout, passer par un tamis fin, en saupoudrer du vin odorant, et verser de l'huile de rose.

203. (*Autre série de formules pour les cas où la matrice*

σου θ. - τὰ pro τε J. - λία θ. - εὐώδεα θ. - εὔοσμον J. — [10] δὲ om. - μετακινιθῶσιν (sic) καὶ θλίβωσιν C. - θλιβῶσιν J. - σὺν JKθ. - τοῖς vulg. - τῇσι C. κηρυβίοισι J. - κυριβίοισι K. - πρόμαλλον θ. - πρόγε μᾶλλον (D, al. manu πρόμᾶλλον sic) FGHIJKL. - πρόσβαλλε Foes in not., Lind. - καὶ (καὶ om. vulg.) ἐλ. Cθ. - ὑποθυμία θ. - ἐπιθυμιῇν (D, emend. al. manu).

τοῖσι κυρηβίοισι καὶ πρόμαλον καὶ ἐλάφου κέρας οἴνῳ δεύσας, ὑποθυμιῆν. [1]Ὅταν προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον ἀνάψαι καὶ ἀποσβέσαι ὑπὸ τὰς ῥῖνας, ὡς λιγνὺς καὶ αἰθαλὸς εἰσίῃ· καὶ [2]πίσσαν καὶ καστόριον καὶ πευκέδανον καὶ σμύρναν διεὶς μύρῳ, εἰρίῳ ἀναδήσασα, προστιθέσθω· πίνειν δὲ ῥητίνην ἐλαίῳ διέντα. Ἢν πνίγωσι λίην, [3]διδόναι ποτὸν χελώνης παραθαλασσίης ὅσον τριώβολον τρίψας ἐν οἴνῳ λευκῷ, κοτύλην κυάθοις πίνειν· [4]ἢ λύχνον, ἐπιχέας ὅσον ἔλαιον, ἅψαι τὸν λύχνον, καὶ ἐὰν ἀποσβεσθῇ, πρὸς τὰς ῥῖνας πρόσαγε· [5]ἢ βόρβορον ὡς δυσωδέστατον ὁμοίως· ἢ εἴριον [6]κατακαύσας· ἢ ἀσφάλτου ὀλίγον τρίψας ἐν οἴνῳ λευκῷ πινέτω· ἢ ἐρυσίμου [7]κόγχην καὶ καστορίου ἐν οἴνῳ λευκῷ δὸς πιεῖν, καὶ λοῦσον. Ἢν [8]δὲ βήσσῃ, σανδαράχης ὀβολὸν, θείου δύο ὀβολοὺς ἀπύρου, ἀμύγδαλα πικρὰ ἀποκαθήρας, καὶ καστορίου ὀβολὸν μίσγειν ξὺν οἴνῳ εὐώδει, καὶ πίνειν δίδου. Ἢν δὲ [9]πνίγωσιν αἱ ὑστέραι, καὶ τῆς καρδίης ψαύσῃ τὸ πνίγμα, καὶ μεμύκῃ τὸ στόμα, ὄξος θερμὸν δίδου ῥοφεῖν· πασσαλίσκῳ ἢ κερκίδι διάνοιγε, ἢ οἶνον ὁμοίως ἄνοδμον καὶ ξὺν ὀξυμέλιτι. Ἢν [10]λίην δὲ πνίγωσι, καὶ ἄφωνος ᾖ, κρόμμυον ἐν οἴνῳ χλιερῷ τρίψας, ἐνστάζειν ἐς τὰς ῥῖνας, καὶ ἀνεγείρειν. Ἢν δὲ [11]ἄχρις ἥπατος ἀνίωσι, καὶ πνίγηται, ἄφωνος γίνεται, καὶ οὐδὲν ὁρᾷ, καὶ τοὺς ὀδόν-

[1] Ὅταν [δὲ] Lind. – ἐλλίχνιον FI, Ald., Frob. – ἐλαύχνιον (sic) ἅψαι θ. – [ὡς] λιγνὺς Cornar. et Foes in translationibus suis, Lind. – ὡς om. vulg. – λυχνις καὶ αιθολος (sic) θ. – αἰθαλόεις C. – εἰσὶ D (H, al manu εἴσεισι). – εἴσεισι (εἴσ. om. C) vulg. – Je pense que εἰσὶ est la vraie leçon (pour εἰσίῃ), et justifie ὡς. — [2] σμύρναν pro πίσσαν, et πίσσαν pro σμύρναν K. – πευκαίδανον θ. – πευκεδανὸν vulg. – ἰρίνῳ vulg. – εἰρίνω J. – ἠρίνω C. – εἰρίω θ, Foes in not., Lind. – ἀναδεύσασα vulg. – Si on prend εἰρίῳ, qui paraît la vraie leçon, il faut lire ἀναδήσασα. – πίνειν.... διέντα om. L. — [3] διδ. om. C. – ποτὸν ἢ (ἢ om. θ; τῆς pro ἢ Lind.) χ. vulg. – κοτύλης DH. – κοτύλη κυάθοις πίνειν θ. – κοτύλην ἢ κυάθους τρεῖς πίνειν vulg. — [4] ἢ κέδρον (κέδρινον Foes in not.) εἰς (ἐς CDFHJK) λύχνον ἐπιχέας ἅψαι τὸν λύχνον, καὶ ἐὰν ἀποσβ. vulg. – λύχνον (sine ἢ) ἐπιχέας ὅσον ἔλαιον, ἅψαι τὸν λύχνον, ἂν ἀποσβῇ θ. — [5] ἢ om. CDGHIJK. — [6] κατακαύσας ὑπὸ τὰς ῥῖνας ὑποθυμιῆν τῆς γυναικὸς (τῆς γ. om. DFGHIJKL, Lind.) (ὑπὸ τ. ῥ. ὑ. τ. γ. om. θ) vulg. — [7] καὶ λόγχην pro κόγχην C. — [8] δὲ μὴ (καὶ pro μὴ Cornar., Foes in not.; μὴ om. Cθ) β. vulg. – σανδαράκης CDFGHIJKθ, Ald. – θίου ὀβ. δύο θ. – ἀποκαθάρας J. – σὺν vulg. – ξὺν C, Lind. – πιεῖν θ. — [9] πνιγῶσιν Jθ. – μῆτραι Cθ. – καρδίας vulg. – καρδίης CDHθ. – πνεῦμα pro πν. J. – μεμύη, al. manu μεμύκη D. – ῥοφῆν G. – πασσάλω θ. – ἄνοιγε vulg. – διάνοιγε θ. – ἀνοίγων [τὸ στόμα], καὶ οἶνον Lind. – καὶ (μὴ pro καὶ J; ἢ Cθ) οἶνον vulg. – ξὺν C, Lind.

presse, se fixe, etc., suivant les théories de l'auteur, et qui sont souvent des cas mal déterminés ou d'hystérie, ou de véritable déplacement.) Quand, déplacée, la matrice cause de la pression, prendre orge avec le son, promalon, corne de cerf, mouiller avec du vin, et employer en fumigation. Quand la matrice, se fixant, cause de la suffocation, allumer une lampe, l'éteindre sous les narines, afin que la fumée et la suie entrent dedans; prendre poix, castoréum, peucédanum, myrrhe, mouiller avec du parfum, attacher avec de la laine, et appliquer en pessaire; boire de la résine dissoute dans de l'huile. Si la matrice cause une forte suffocation, prendre trois oboles de tortue marine, les écraser dans du vin blanc, en boire une cotyle par cyathes. Ou prendre une lampe, y verser un peu d'huile, l'allumer, et, quand elle est éteinte, l'approcher des narines; ou semblablement, de la bourbe aussi fétide que possible; ou brûler de la laine; ou boire un peu d'asphalte broyé dans du vin blanc; ou boire une conque (= 0litre,023) d'érysimon et de castoréum dans du vin blanc, et prendre un bain. S'il y a toux, sandaraque une obole, soufre qui n'a pas senti le feu deux oboles, amandes amères nettoyées, castoréum une obole, mêler avec du vin odorant, et donner à boire. Si la matrice cause de la suffocation, que l'étouffement porte sur le cœur, et que la bouche soit fermée, donnez à boire du vinaigre chaud, ouvrant la bouche avec un petit levier ou une navette; ou bien encore du vin sans odeur, avec de l'oxymel. Si la matrice cause une grande suffocation et que la voix soit perdue, piler un poireau dans du vin tiède, instiller dans les narines et éveiller. Si la matrice remonte jusqu'au foie et suffoque, la femme perd la voix, ne voit rien, a les

- σὺν vulg. - ὀξειμελι (sic) θ. — [10] δὲ λίην CDθ, Lind. - λίαν J. - πνιγῶσι θ-. πνίγηται CDFGHJK. - χλιαρῷ Jθ. - χλιηρῷ C, Lind. - εἰς J. — [11] ἄχρι Cθ. - πνίγεται vulg. - πνίγηται θ, Lind. - συναιρίζει θ. - πυκινὰ θ. - οὐχ ὑπακούει vulg. - οὐδὲν ἀκούει θ. - τῇσι χερσὶ (τῇ σῇ χειρὶ L, Lind.) χρίειν (σίειν θ) vulg. - χλιηρὸν CJ, Lind. - χλιαρὸν θ. - κωλύσι vulg. - κωλύη J, Lind. - ῥαίη vulg. - ῥαίζει CDFHIJKθ, Lind.

τας συνερείσει, καὶ σκληρὴ γίνεται, καὶ οὐδὲν φρονέει, καὶ ἀναπνεῖ πυκνὰ, καὶ οὐδὲν ἀκούει· ταύτην ὑπὸ τὰ ὑποχόνδρια λαβὼν τῇσι χερσὶ σείειν θαμινάκις, καὶ τοὺς ὀδόντας διαγαγὼν πασσάλῳ, οἶνον ἄκρητον χλιερὸν ἐγχέειν, ἦν μή τι κωλύῃ, καὶ αὐτίκα ῥαΐζει ὡς τα-πολλά. [1]Ἦν ἐγχέωνται ἐς τοὺς βουβῶνας καὶ ἐρείδωσιν, αἰγὸς σπυράθους καὶ λαγωοῦ τρίχας, ἐλαίῳ φώκης δεύσας, ὑποθυμία· ἢ τοῦ [2]κυτισοῦ τὸν καρπὸν ἢ τὰ φύλλα αὐαίνειν, ἢ τὸν φλοιὸν καὶ δρυὸς φύλλα καὶ ῥητίνην μίξας, ἐλαίῳ δεύειν, καὶ ὑποθυμιῇν. [3]Ἢ φώκης τῆς πιτύης τὸ δέρμα κόψας λεῖον, καὶ σπόγγον καὶ βρύα λεῖα μίσγειν τῷ ἐλαίῳ τῆς φώκης, καὶ ὑποθυμιῇν. Αἰγὸς [4]σπυράθους, καὶ φώκης πλεύμονα, καὶ κέδρου πρίσματα ὑποθυμιῇν. Ἢ βόλβιτον, ἢ κεράτων ξύσματα βοὸς καὶ ἄσφαλτον, ἢ ἀκάνθης αἰγυπτίης καρπὸν [5]καὶ κέδρου πρίσματα, καὶ μυρσίνης φύλλα ξηρὰ, μύρῳ μαλθακῷ ταῦτα δεύσας, ὑποθυμίη· ἀρώματα δὲ συχνὰ ἐς τὸ μύρον ἐμβάλλειν. Ἢ γίγαρτα κόψας [6]λεῖα, καὶ κεδρίαν καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας, γλυκεῖ ἑφθῷ δεύσας, ὑποθυμιῇν. [7]Πυριήσιες ὡς ἀπίωσιν· βολβίτου κεκομμένου καὶ ὄξεος ἥμισυ, καὶ ὀροβίου θαλάσσης ἢ ὕδατος ὁμοίως πυρία τὰς ῥῖνας· [8]πυριῇν δὲ βληχρῶς, καὶ φάκιον πιεῖν, ἀπεμέειν δὲ, καὶ ῥοφέειν διδόναι ἄλητον καὶ ἔτι τὸν οἶνον· τῇ δ' ὑστεραίῃ κόκκος ἔστω κατάποτος· [9]καὶ οὐρητικὸν δὲ ἀσταφίδα καὶ ἐρεβίνθους, δύο τρίψας σταφίδος τῆς ἀρίστης, ἐπιχέας χόεα, ἕψε, ἔπειτα ἀποχέας πρὸς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ πίνειν, καὶ τὸ λοιπὸν ἐλελίσφακον, καὶ λίνου σπέρμα, [10]καὶ ἄλφιτον διδόναι

[1] Ἦν Kθ. – ἐὰν vulg. – ἐγχέωνται (D, al. manu), Ald., Frob., Lind. – ἐγκαίωνται Cθ. – αιριζωσιν (sic) θ. – πυράθους FGIJ. – λαγώας θ. – φωκίω C. — [2] κιτισσοῦ D. – κιτισοῦ H. – κυτίσου C. – κίσσου θ. – ἀναίρειν L. – καὶ ὑποθ. om. J. – ὑποθυμιᾶν θ. — [3] ἢ (ἢ om. vulg.) φώ. D. – πητύης K. – λίον θ. – βρῦα D. – λεῖα om. θ. – ὑποθυμιᾶν θ. — [4] τοὺς (τοὺς om. θ) σπ. (πυράθους CFGIJ, Ald.) vulg. – πνεύμονα vulg. – πλεύμονος θ. – πνεύμονος CFGIK, Ald. – πνεύμονας J. – πρίσματα (addit ὑποθυμιῇν Lind.), ὑποθυμιῇν (ὑποθυμιᾶν θ) δὲ (δὲ om. θ) καὶ (καὶ om. C; ἢ pro καὶ θ) βόλβ. (βόλιτον θ; βόλβητον FGHIK) vulg. — [5] κ. κ. π. om. J. – ὑποθυμιᾶν θ. – σύχνα δὲ C (θ, δ'). – μῦρον D. — [6] λία θ. – κεδρίδας θ. – ὑποθυμιᾶν θ. — [7] πυριησιν ες (sic) θ. – ὡς ἀπ. om. FGHJKL. – βολίτου Cθ. – κεκαυμένου vulg. – κεκομμένου Hθ, Foes in not. – πυριᾶν θ. — [8] πυριᾶν Cθ. – τάχιον pro φάκιον θ. – ποιεῖν pro πιεῖν CJ. – πεμέειν (sic) I. – ἐπεμέειν K. – δὲ om. C. – ῥυφεῖν θ. – ἐπὶ pro ἔτι θ. – κατάποτος Cθ. – κατάποτον vulg. — [9] καὶ om. K. – ἀσταφίδος θ. – χόα

dents serrées, devient rigide, ne comprend rien, respire fréquemment, n'entend pas. En ce cas, la prendre sous les hypocondres avec les mains, et la secouer fréquemment, écarter les dents avec un petit levier, et verser du vin pur tiède, si rien ne s'y oppose; et généralement le mieux se manifeste aussitôt. Si la matrice pèse sur les aines et s'y fixe, prendre des crottes de chèvre et du poil de lièvre, mouiller avec de l'huile de phoque, et administrer en fumigation. Ou bien, sécher la graine de cytise, ou les feuilles, ou l'écorce et les feuilles du chêne, mêler de la résine, mouiller avec de l'huile, et employer en fumigation. Ou bien, peau de la présure du phoque, la broyer, y mêler éponge, algue, huile de phoque, et employer en fumigation. Crottes de chèvre, poumon de phoque, sciure de cédros, employer en fumigation. Ou bien, bouse de vache, ou raclure de cornes de bœuf et asphalte, ou fruit de l'épine d'Égypte (*acacia*) et sciure de cédros, et feuilles sèches de myrte, pétrir tout cela avec du parfum mou, et employer en fumigation; jeter beaucoup d'aromates dans le parfum. Ou bien, pepins de raisin, bien broyer, mêler de la résine de cédros et de la résine de pin, mouiller avec du vin doux cuit, et employer en fumigation. Fumigations pour ramener la matrice : bouse de vache pulvérisée et vinaigre, de chaque une demie, farine d'ers, dans de l'eau de mer ou de l'eau simple, faire une fumigation semblable; la fumigation sera douce. La femme boira de l'eau de lentilles, revomira, prendra en potage de la farine et, par dessus, du vin. Le lendemain, le grain de Cnide sera pris en bol; et aussi la préparation diurétique ainsi composée : raisins secs et pois chiches (deux parties de raisins secs les meilleurs), broyez, versez un conge d'eau (= 3[litres], 24), faites bouillir, décantez, exposez au serein, et faites boire le lendemain. Du reste, sauge, graine de lin, farine d'orge, donner deux fois le jour dans du vin coupé, à la dose de quatre co-

vulg. - χόεα θ, Lind. - ἐθρίην C. - λινούσπερμα θ. — [10] καὶ om. θ. - Ante εἰς addit καὶ C. - ἐπ' θ.

δὶς τῆς ἡμέρης ἐν οἴνῳ κεκρημένῳ, κοτύλας τέσσαρας. Ἐλαίου [1] ἡμικοτύλιον, ἀκτῆς φύλλα χεῖρα πλέην, ταῦτα ἕψειν, καὶ πυρίην θερμῷ, ἢ ὀστράκοισι θερμοῖσιν, ἐπὶ δίφρου καθέζεσθαι, ἀμφικαλύπτειν δὲ εἵμασιν. Ἢ τῆς ἀκτῆς [2] φύλλα ξὺν μυρσίνῃ ἕψειν, καὶ κριθέων ἄχυρα ἕψειν· καὶ εἰ οἷά τε εἴη ὑποφέρειν, ὄξος, ἔλαιον, μέλι, ὕδωρ, ταῦτα κεράσας καὶ ἀναμίξας, ἀναζέσας σφόδρα, ἐς κύστιν ἐγχέαι· [3] ἢ τῆς πίτυος τὸν φλοιὸν καὶ τῆς ῥοιῆς τὰ φύλλα ἐμβάλλειν ἐς ὕδωρ, ἀφεψεῖν δὲ ἰσχυρῶς· καὶ ἐμβάλλειν [4] δ' ἐς τὸ ὕδωρ καὶ κριθῶν ἄχυρα, ἕψειν, ἔλαιον ἐπιχέαντα· ἢ λωτοῦ πρίσματα καὶ κυπαρίσσου, ὕδωρ ἐπιχέας καὶ ἔλαιον, [5] ἕψε εὖ μάλα, καὶ πυρία ξὺν ἀρώμασι· μύρον [6] δὲ ἐγχέειν, καὶ κικίδα ἐμβάλλειν καὶ ῥάμνου φλοιὸν καὶ πύρινα ἄλφιτα ξὺν ὕδατι.

204. Ἢν δὲ προΐσχωσιν [7] ἔξω, τὰ δὲ νεῦρα τὰ καλεόμενα ὄσχοι χαλᾶται, μύρτα, λωτοῦ πρίσματα, βάτου καὶ ἐλαίης φύλλα ἅμα ἕψειν, καὶ πυρίην ἀκροχλιάρως· ἢ οἴνῳ μετὰ τουτέων [8] καὶ κακωδέων, ὁμοίως· περιχρίειν δὲ τῷ λευκῷ τοῦ ᾠοῦ τὰ ἔξω· ὅταν δὲ ψύχωνται καὶ πελιδναὶ ἔωσιν, ὕδατι θερμῷ.

205. [9] Μαλθακτήρια ὑστέρης· οἴος στέαρ, ᾠῶν λέκιθος, μέλι, ἔλαιον ῥόδινον, τούτοισιν ἀναφυρήσας ἄλητα, παραχλιαίνειν ἐν πυρὶ μαλθακῷ, τὸ ἀποσταζόμενον ἐς εἴριον ἀναμαλάσσειν, καὶ προστιθέναι· ἢ [10] στέαρ ἡδυντὸν τὸ ἐρυθρὸν, χηνὸς ἄλειφα, ῥόδινον ἔλαιον, ξυντήξας καὶ ἐς εἴριον ἀναφυρήσας, προσθεῖναι· [11] χηνὸς ἄλειφα ἢ

[1] Ἥμισυ κοτύλιον J. – ἡμικότυλον C. – πλείαν vulg. – πλεῖαν Ald., Frob. – πλέην θ. – πυριᾶν θερμὸν θ. – καθίζεσθαι θ. – δ' θ. — [2] τὰ (τὰ om. θ) φύλλα vulg. – σὺν vulg. – ξὺν C, Lind. – καὶ κ. ἄ. ἕ. om. (D, restit. al. manu cum ἄχερα) FGHIJK. – κριθῶν vulg. – κριθέων θ. – Post ἕψειν addit πυριᾶν θ. – καὶ om. θ. – ἢν οἷά τέ ἐστι vulg. – εἰ οἷά τε εἴη θ. – ἢ ὄξος θ. – ἔλ. om. J. – ἀναζέσαι CDFGJθ, Ald. – καὶ ἐς κ. J. — [3] ἢ Cθ. – καὶ vulg. – πιτύης vulg. – πίτυος Dθ. – εἰς C. — [4] δ' θ. – δ' om. vulg. – εἰς CK. — [5] ἕψε θ. – σὺν vulg. – ξὺν CD, Lind. — [6] δὲ θ. – δὲ om. vulg. – ἐγχεῖν θ. – κηκίδα Cθ, Lind. – φλοιοῦ vulg. – φλοιὸν DHθ. – πύρρινα FGHIK. – σὺν θ. — [7] ἔξω τὰ (addit δὲ θ) νεῦρα καὶ (καὶ om. Cθ) τὰ καλ. οἶχοι (ὄχοι CFGIKθ, Ald.; ὄσχοι DHJ; ὄσχη Foes in not.; ὄσχεα Lind.) χαλῶνται (χαλᾶται Cθ) vulg. – La leçon a été controversée (voy. Schneider, Suppl. Dict. v. ὀσχίω). Comparez le passage p. 346, l. 3. – βάτον θ. – καὶ om. Cθ. – ἅμα om. Cθ. – πυριᾶν θ. – ἀκροχλίηρον C. – ἀποχλιαρὸν θ. — [8] καὶ τῶν κακ. θ. – δὲ ᾠῶν λευκῶ τὰ (C, ᾠοῦ) DHIK. – ὅταν δὲ (δὲ om. vulg.) θ. – ψύχηται καὶ πελιδνὰ vulg. – ψύχωνται καὶ πελιδναὶ θ. – πολλῷ pro θερμῷ DIJKQ'. Lind. — [9] μ. ὑ. om. L. – μαλθακτήριον DQ'. – οἶον FGJ. – ὀὸς θ. – λέκυθος H. – λίκιθος C. – τουτέοις vulg. – τούτοισιν

tyles. Huile demi-cotyle, feuilles de sureau une pleine main, faire bouillir et employer chaud en fomentation, ou des vases en terre chauds; la femme s'assied sur un siége et s'enveloppe de couvertures. Ou bien, feuilles de sureau, myrte, faire bouillir; paille d'orge, faire bouillir; et, si la femme peut le supporter, vinaigre, huile, miel, eau, mêler tout cela en bonnes proportions, faire bouillir fortement, et mettre dans une vessie. Ou bien, écorce de pin, feuilles de grenadier, jeter dans de l'eau, faire bien bouillir; et jeter aussi dans l'eau de la paille d'orge, ajouter de l'huile, et faire bouillir. Ou bien, sciure de lotus et de cyprès, verser de l'eau et de l'huile, faire bien bouillir, et administrer la fumigation avec les aromates, versant du parfum, ajoutant la noix de galle, l'écorce de rhamnus, et de la farine de blé.

204. (*Pour les chutes de matrice.*) Si la matrice saille au dehors, et que les nerfs appelés rameaux (*ligaments larges*) soient relâchés, baies de myrte, sciure de lotus, feuilles de ronce et d'olivier, faire bouillir ensemble, et employer, légèrement tiède, en fomentation. Ou bien, ces substances et les substances fétides, dans du vin, employées semblablement; oindre les parties extérieures avec du blanc d'œuf; quand la matrice se refroidit et devient livide, fomenter avec de l'eau chaude.

205. (*Pessaires émollients. Sous ce titre, l'auteur entend aussi des pessaires qui mondifient et évacuent différentes humeurs.*) Émollients utérins : graisse de mouton, jaune d'œuf, miel, huile de rose, pétrir de la farine avec tout cela, faire chauffer à un feu doux, recevoir sur de la laine ce qui dégoutte, et appliquer en pessaire. Ou bien, graisse rouge pré-

θ. - παραχλίαινε πυρὶ θ. - ἀναμάσσειν K. — [10] στέαρ ὄϊος (ὄ. om. θ) ἡδὺ, νιτρὸν (ἡδῦντον sic pro ἡδὺ, νίτρον θ) (addunt τὸ Cθ) ἐρ. ἢ (ἢ om. θ) χ. ἄλ. (ἄλιφα θ) vulg. - ῥόδινον.... ἄλειφα om. (D, restit. al. manu) K. - καὶ om. θ. - εἰς D. - προστιθέναι θ. — [11] ἢ χηνος αλιφα (sic) θ. - ἄλειφαρ D. - ἢ om. θ. - μήλιον Cθ. - νέτοπον FG. - ἀναμίξας L, Lind. - ῥάκια DHK. - ἐγκατιλλεῖν FGIK. - ἐγκατειλεῖν DH. - ἐγκατατιλλεῖν (sic) J. - ἐγκατατίλλειν Cθ. - ἐγκατιλεῖν Q'. - ἐγκατίλλειν vulg. - Voy. κατατίλας, Nat. de la F., p. 366, l. 4. - χλιηρὰ C. - χλιαρὰ:... προστιθέσθω om. (DH, restit. al. manu) FGIJKL.

μήλειον στέαρ, κηρὸν λευκὸν, νέτωπον, ῥόδινον ἔλαιον, ὡς ἄριστα ταῦτα ἀναμὶξ ποιέειν, καὶ ῥάκεα ἐγκατατίλλειν λεπτὰ, καὶ αυτικα λουσαμένη, προστιθέσθω χλιαρὰ πρὸς τὸ στόμα· ἢ ἐλάφου μυελὸν καὶ στέαρ τῆξαι ἐν ῥοδίνῳ ἐλαίῳ, [1]ἀναφορύξασα εἴριον μαλθακὸν, προστιθέσθω. Μαλθακὰ προσθετὰ, [2] ὕδωρ ἄγει καὶ μύξας καὶ δέρματα, καὶ οὐχ ἑλκοῖ· σμύρναν ὡς ἀρίστην, καὶ ἁλὸς χόνδρον καὶ πίσσαν ἡδυντὴν, τρίβειν λεῖα καὶ τιθέναι. [3]Ἕτερον προσθετόν· ἐκλέψας κόκκους τριήκοντα, τὸ ἰνδικὸν, ὃ καλέουσιν οἱ Πέρσαι πέπερι, καὶ ἐν τουτέῳ ἔνι στρογγύλον, ὃ καλέουσι μυρτίδανον, ξὺν γάλακτι γυναικείῳ ὁμοῦ τρίβειν καὶ μέλιτι διιέναι· ἔπειτα εἴριον μαλθακὸν [4]καὶ καθαρὸν ἀναφυρήσας, περὶ πτερὸν περιελίξας προσθεῖναι, καὶ τὴν ἡμέρην ἐῆν· ἢν δὲ ἰσχυρότερον βούλῃ ποιῆσαι, σμύρναν ὀλίγην παραμίσγειν ὅσον τριτημόριον, καὶ εἴριον μαλθακὸν καθαρὸν ἢ ἡμίῤῥυπον. [5]Ἄγει ἐξ ὑστερέων καὶ τὸ στόμα μαλθάσσει· νάρκισσος, κύμινον, σμύρνα, λιβανωτὸς, ἀψινθίον, κύπειρος, αὐτὰ ταῦτα καθ' ἑωυτὰ καὶ ξὺν ῥοδίνῳ ἢ λευκῷ ἐλαίῳ, προσθέσθω δὲ λουσαμένη. [6]Ἰχῶρα ὕφαιμον δυνάμενον ἄγειν· ξὺν τοίσδεσι μίσγειν σμύρναν, ἅλας, κύμινον, χολὴν ταυρείην, μέλι, ἐν εἰρίῳ προστιθέναι· καὶ κυμίνου φύλλα ἡδελφισμένως ἐν οἴνῳ· ἢ ὀπὸν σιλφίου [7]σύκῳ μίσγειν, καὶ βάλανον ποιήσαντα προσθεῖναι· τὸ δ' αὐτὸ [8]δρᾷ ἡ λευκὴ ῥίζα ξὺν μέλιτι, καὶ μετέπειτα χρίειν ῥοδίνῳ· ἐνεργεῖ δὲ καὶ σκορόδου

[1] Ἀναφορίσσειν (sic) C. – ἀναφωρήξασα Ald. – Post ἀναφ. addit δὲ H. — [2] [ἃ] ὕδωρ Lind. – ἄγοντα DQ'. – ἕλκεται C. – πίσσην C. – Post πίσ. addit ὡς θ. – λία θ. – καὶ τιθ. om. Cθ. — [3] ἕτερον προσθετὸν om. DFGL. – προσθετὸν om. J. – καὶ τὸν ἰνδικὸν C. – ὃ om. θ. – καλοῦσιν vulg. – καλέουσιν CJ, Ald., Frob., Lind. – τούτῳ δ' ἔνι θ. – καλοῦσι vulg. – καλέουσι θ. – Gal. Gl. : μυρτίδανον, οἱ πλεῖστοι μὲν τὸ πέπερι, Διοσκουρίδης δὲ ὁ Ἀναζαρβεὺς ἐν τῷ πρώτῳ περὶ ὕλης ἐπίφυσιν ἀνώμαλον καὶ ὀχθώδη περὶ τὸ τῆς μυρσίνης πρέμνον· ὅ γε μὴν Ἱπποκράτης τὸν καρπὸν οὕτως ὀνομάζει ἐκ τοῦ φυτοῦ, ὅπερ αὐτός φησιν ὑπὸ ἑτέρων ὠνομάσθαι πέπερι. – γυναικείῳ om. Cθ. – Post τρ. addunt γυναικὸς Cθ. – διεῖν C. – διεῖναι θ. — [4] καὶ om. C. – περίπτερον Cθ. – ἐᾶν Jθ. – βούλει H. – β. om. θ. – ποι. om. C. – ἢ (ἢ om. DFGHIJKL) μιρυπὸν (μίρυπον Ald., Frob.; μιρρυπον sic θ; ἡμίρυπον FGHIL, Lind.; ἡμίρρυπον DJK) vulg. — [5] ἄγει.... μαλθάσσει om. GL. – ἐξ ὑστ. om. J. – καὶ τὸ om. CDFHIKθ. – τὸ στ. om. J. – νάρκισος FK. – σμύρναν βάνωτος (sic) ἀψ. κύπαιρον θ. – κύπειρος D. – κύπερος vulg. – αὐτὰ ταῦτα om. Cθ. – καθ' ἑαυτὰ (ἑωυτὰ θ) καὶ (καὶ om. DFGIJKθ) ξὺν ῥ. ἐλαίῳ ἢ (ἢ om. FGHIJK) λευκῷ (ἢ λ. ἐλ. Cθ) ἢ (ἢ om. Codd. Vatic. ap. Foes) αἰγυπτίῳ (ἢ αἰγ. om. C) vulg. — [6] ἰχ.... ἄγειν om. L. – Ante ἰχ. addit ἄγει ἐξ ὑστερέων, στόμα μαλθάσσει

parée aux aromates, graisse d'oie, huile de rose, faire fondre, enrouler dans de la laine, et appliquer. Graisse d'oie ou de mouton, cire blanche, nétopon, huile de rose, prendre ces substances de première qualité, les mélanger, y incorporer de la charpie fine, et, aussitôt après un bain, appliquer tiède à l'orifice utérin. Ou bien, moelle de cerf et graisse, faire fondre dans de l'huile de rose, enrouler dans une laine molle, et appliquer en pessaire. Pessaires émollients, qui font sortir l'eau, les mucosités et les peaux, sans ulcérer : myrrhe de première qualité, grains de sel, poix aux aromates, triturer et appliquer. Autre pessaire : trente grains décortiqués, la substance indienne que les Perses nomment poivre (et là dedans il y en a de ronds qu'on appelle myrtidanum), piler avec du lait de femme, délayer avec du miel, emmêler dans de la laine molle et propre, rouler autour d'une plume, et appliquer; on le laisse pendant un jour. Si on veut le rendre plus actif, ajouter un peu de myrrhe, un tiers environ, avec de la laine propre ou en demi-suint. Pessaire qui purge la matrice et amollit l'orifice : narcisse, cumin, myrrhe, encens, absinthe, cypérus, seuls et avec l'huile de rose ou le parfum égyptien, appliquer en pessaire après un bain. Pessaire qui peut évacuer des humeurs sanguinolentes : les mêmes ingrédients que dans le pessaire précédent, y mêler myrrhe, sel, cumin, bile de taureau, miel, appliquer en pessaire dans de la laine; et les feuilles de cumin, semblablement dans du vin; ou suc de silphion mêlé à la figue, faire un gland et appliquer. Le même effet est produit par la racine blanche (*dracunculus polyphyllus*) avec du miel; puis enduire avec de l'huile de rose. Celui-ci est bon aussi : gousse d'ail, partie égale de nitre

G. – καὶ ἰχ. καὶ ὕφ. ἄγει Cθ. – σὺν (ξὺν C, Lind.) τοῖς δασὶ (δεσὶ FGI, Ald., Frob.; δαισὶ CJ, Foes in not., Lind.) (τοῖσδεσι H; τοισδεσσιν θ) vulg. – ταυρείαν DGIJK. – ταυρίου C. – ταύρου θ. – ἠδελφισμένα vulg. – ἠδελφισμένως CFGHIJθ, Ald. – σὺν pro ἐν Cθ. — [7] σύκα K. — [8] ποιεῖ (δρᾶ Cθ) καὶ συκῆς (ηλσυκὴ sic C; ἡ λευκὴ θ) ῥίζα σὺν (ξὺν C, Lind.) vulg. – λούειν σὺν pro χρίειν θ. – σκόροδον θ. – μόλυζα CFGHIJK, Ald. – λίτρον ἐρυθρὸν σῦκον πῖον θ. – ἴσου DFGHJK. – Post μίσγειν addunt μίσγειν DJK.

μωλυζα, νίτρου ἐρυθροῦ, σύκου πίονος ἴσον, μίσγειν δὲ [1]καὶ κικίδα μικρὴν, καὶ βάλανον ποιέειν, καὶ ἐμβάπτειν ἔς τι τῶν ὑγρῶν, καὶ προστιθέναι, κἄπειτα λουσαμένη ἐλάφου στέαρ ἐν εἰρίῳ ἐχέτω. [2]Αἱματώδεα πάντα μᾶλλον τῶν πρόσθεν ἄγειν δύναται καὶ μαλθάσσειν· πέπερι, ἐλατήριον, ξυμμίσγειν δὲ καὶ γυναικὸς γάλα, [3]καὶ τρίβειν ξὺν τοῖσδε καὶ μέλι καὶ ἄλειφα λευκὸν ἢ ἐλάφου στέαρ. Τρηχὺ μὲν, σφοδρὰ δὲ ἄγει παντοῖα· σύκου τὸ [4]πῖαρ, ἐλατηρίου δύο πόσιας, νίτρον ἐρυθρὸν, ὅσον τὸ ἐλατήριον, μέλι ὀλίγον, ἐν ῥάκει ἢ ἐν εἰρίῳ, βάλανον ποιέειν. [5]Ἕτερον· νέτωπον, χολὴν ταύρου, νίτρον, κυκλάμινον, κικίδα, τρίβειν ξὺν μέλιτι, μετέπειτα λουσαμένη στέαρ ἐχέτω ἢ γλήχωνα· [6]καὶ χολὴν ταύρου, σμύρναν, μέλι προστιθέναι, καὶ λουσαμένη ἔλαιον ῥόδινον· ἢ χολὴν ταύρου τριπτὴν περιπλάσσειν πτερῷ, καὶ ἐς [7]ἄλειφα ἐμβάψας αἰγύπτιον, προστιθέναι· ἢ κυκλάμινον ὅσον ἀστράγαλον [8]ξὺν χαλκοῦ ἄνθει, ἢ ἀνεμώνης κεφαλὴν τρίψας ξὺν ἀλήτῳ, πτερῷ περιπλάσσειν, [9]ἢ ἐς λευκὸν εἴριον ἐμβάπτεσθαι. [10]Ἄγει πάντα· σικύης ἐντεριώνης τῆς μακρῆς ἐξελὼν τὸ σπέρμα ξὺν γάλακτι, καὶ σμύρναν, [11]ξὺν αὐτοῖσιν ἄκρητον μέλι, ποσὸν ἔλαιον αἰγύπτιον, ἐν εἰρίῳ μαλθακῷ ἀναφορύξαι· ἢ τὴν [12]ἐντεριώνην τῆς σικύης ξηραίνειν, καὶ μέλι παραχέαι, καὶ τρίβειν, καὶ βάλανον ποιέειν· ἐπὴν δὲ λούσηται, στέαρ προστιθέσθω· ἢ ἐλατηρίου τρεῖς πόσιας ἐν στέατι μαλθακτηρίῳ, ᾠοῦ τὸ πυῤῥὸν, ἄλητον, μέλι, κηρὸν λευκὸν, ταῦτα ὁμοῦ χλιαίνειν, [13]καὶ τὸ ἀποστάζον εἰρίῳ ἀνα-

[1] Καὶ CDFGJKLθ, Lind. – καὶ om. vulg. – κηκίδα Cθ, Lind. – κικίδος μίκρον J. – εἰς J. – καὶ προσθ. om. θ. – κἄπιτα θ. – σὺν pro ἐν C. — [2] αἱμ.... μαλθάσσειν om. L. – μᾶλλον δὲ αἱματώδεα τῶν πρ. ἄγει καὶ μαλάσσει C (θ, μαλθάσσει). – συνμίσγειν θ. — [3] καὶ om. Cθ. – ξὺν CDG, Lind. – σὺν vulg. – λευκὸν (addit ἢ θ) ἐλ. τε (τε om. Cθ) στ. τρηχυνομένη (τρηχυνομένης D). σφόδρα δὲ (δὲ om. D) ἄγει π. (σφ. δὲ ἄ. π. om. L) vulg. – τρηχυνομένη ne s'entend pas; je change le point, et lis τρηχὺ μέν; comp. τὸ δριμὺ, p. 156, l. 7. — [4] πειαρ (sic) θ. – πόσιες, λίτρον θ. – νίτρου τὸ ἐρυθρὸν J. – νίτρου ἐρυθροῦ L, Lind. – περ pro τὸ Cθ. – ὀλίγιστον CIJKθ. – ῥακίη εἰρίω θ. — [5] ἕτ. om. Fθ. – αἱμαγωγὸν pro ἕτ. CDHIJKQ'. – ἕτερον αἱμαγωγὸν Lind. – ἢ νέτ. Cθ. – λίτρον θ. – κυκλ. om. θ. – κηκίδα Cθ, Lind. – ξὺν CD (θ, καὶ ξὺν), Lind. – καὶ μέτ. C. – δὲ καὶ (δὲ κ. om. Cθ) λουσ. vulg. – γλίχ. HJ. — [6] ἢ pro καὶ H. – ταύρου om. θ. – σμύρναν μέλι προσθεῖναι (προστιθέναι θ) καὶ λουσαμένη ἔλαιον ῥόδινον ἢ χολὴν ταύρου Cθ. – σμύρναν.... ταύρου om. vulg. — [7] ἄλιφα θ. — [8] ξὺν C, Lind. – σὺν vulg. – ἄνθη J. – κεφαλὰς Cθ. – ξὺν D, Lind. – σὺν vulg. — [9] ἢ θ. – ἢ om. vulg. – αἰγύπτιον pro εἴριον Lind. — [10] ἄ. π. om. L. – αἱμαγωγὸν pro

rouge et de figue grasse, ajoutez une petite noix de galle, faire un gland, tremper dans quelqu'un des liquides, et appliquer; puis, après un bain, mettre en pessaire de la graisse de cerf dans de la laine. Pessaire propre à purger plus que les précédents toutes les humeurs sanguinolentes et à amollir : poivre, élatérion, y mêler du lait de femme, et, avec cela, broyer miel et parfum blanc ou graisse de cerf. Pessaire âpre, mais qui évacue activement toute sorte d'humeurs : la partie grasse de la figue, deux potions d'élatérion, nitre rouge autant que l'élatérion, un peu de miel, dans un chiffon ou dans de la laine, faire un gland. Autre : nétopon, bile de taureau, nitre, cyclamen, noix de galle, piler avec du miel, puis, après un bain, mettre en pessaire de la graisse ou du pouliot. Autre : bile de taureau, myrrhe, miel, appliquer, et, après un bain, mettre l'huile de rose. Autre : bile de taureau broyée, former autour d'une plume, tremper dans le parfum d'Égypte, et appliquer. Autre : cyclamen gros comme un osselet, avec fleur de cuivre, ou tête d'anémone pilée avec de la farine, former autour d'une plume, ou enrouler dans de la laine blanche. Pessaire purgeant tout : intérieur de la courge longue, ôter les graines et mêler avec du lait, myrrhe, miel pur, quantité suffisante de parfum égyptien, enrouler dans une laine molle. Ou sécher l'intérieur de la courge, verser du miel, piler, faire un gland; puis, après un bain, la femme appliquera la graisse. Ou trois potions d'élatérion dans une graisse émolliente, jaune d'œuf, miel, cire blanche, faire chauffer ensemble, éponger

ἄ. π. DQ'. - ἕτερον αἱμαγωγὸν pro ἄ. π. Lind. - σικυοῦ vulg. - σικύης θ. - ἐλὼν vulg. - ἐξελὼν θ. - ξὺν C, Lind. - σὺν vulg. — [11] ξὺν Lind. - σὺν vulg. - ἄκρην, τὸ (ἄκρατον FGIJ; ἄκρητον CDHKθ, Ald.) (καὶ pro τὸ Lind.) μέλιτι (μέλι Cθ, Lind.; μέλιτος DHK) vulg. - ἔλ. αἰγ. CDFIJKθ. - αἰγ. ἔλ. vulg. - ἐν θ. - ἐν om. vulg. - ἀναφορῆξαι C. - ἐναφορύξαι L. — [12] ἐντεριόνην H. - περιχέαι vulg. - παραχέαι Lθ, Lind. - προτιθέσθω Ald. - τρεῖς (τρὶς θ) πόσιας (πόσηας C) ἐν ὕδατι (στέατι θ). Μαλθακτήρια (μαλθακτηρίω θ), ὠοῦ τὸ λευκὸν (πυρρὸν θ), ἄλητον, μελίκρητον (μέλι, κηρὸν θ, Cornar., Foes in not., Lind.) λευκὸν vulg. — [13] καὶ om. Cθ. - ἀποστ. (ἀποστάζων θ) (addit ἐν D) εἴριον (εἰρίω CDHIL, Lind.) vulg.

σπογγίσας, πρόσθες· ἢ χηνὸς [1] ἄλειφα, κηρὸν λευκὸν, ῥητίνην, μύρον ῥόδινον· [2] ἢ μυελὸν ἐλάφου τήκειν ἢ στέαρ ὄϊος [3] ἢ αἰγὸς, ὠοῦ τὸ λευκὸν, ῥόδινον μύρον, ἢ βάλανον ποιέειν ἢ εἰρίῳ ἀναλαμβάνειν.

206. [4] Πυρίαι δι' ὧν ὑστέραι καθαίρονται, ἣν σκληραὶ ἔωσιν· οἶνον χρὴ ὡς ἥδιστον ἴσον ἴσῳ κεράσαι, ὡς τρία ἡμίχοα ἀττικὰ, καὶ μαράθου ῥίζαν καὶ τοῦ καρποῦ, τεταρτημόριον, καὶ ῥοδίνου ἀλείφατος ἡμικοτύλην, ἐς ἐχῖνον ἐράσα, οὗ τὸ ἐπίθεμα ὀπὴν ἔχει, καὶ ἐπιχέαι τὸν οἶνον, καὶ ἐνθέντα κάλαμον πυριῆσαι, καὶ μετέπειτα τὴν σκίλλην προστίθεσθαι. Ἢν ὀδύναι καταιγίζωσιν [5] ἐξαπιναῖοι, καὶ ἀψυχίαι ἔωσι· ῥόδων φύλλα, κιννάμωμον, σμύρναν καθαρὴν, νέτωπον, ὀπὸν μήκωνος, τουτέων φθοΐσκους ποιήσας ὅσον δραχμιαίους, ἐπίθες ἐπὶ τρύφος ἀμφορέως, καὶ ἢν διαφανὲς ᾖ, χρῶ ὑποθυμιήματι· ἢ στύρακος, ὅσον [6] ἐμβάλλουσιν ἐς τοὔλαιον, ὡς ἐπὶ τῆς προτέρης χρῆσθαι· [7] ἅπαντα ὁκόσα ἐς τὰ μύρα ἐμβάλλεται, κόψαι καὶ κατασῆσαι· [8] ἐπιβάλλειν δὲ ἐς τὸν βόλβιτον καὶ στύρακα, καὶ περιχρίειν νετώπῳ, ῥόδινον ἔλαιον ὡς ἄριστον, καὶ αἰγύπτιον λευκὸν, θυμία τοῦτο μετὰ τὰς καθάρσιας. Ἢ [9] δάφνης καὶ μυρσίνης φύλλα κόψαι καὶ κυπείρου καρπὸν, ὀργάσασθαι αἰγυπτίῳ λευκῷ μύρῳ καὶ νετώπῳ, [10] καὶ ἐπὶ βολβίτῳ θυμία. Ἀρήγει δὲ [11] καὶ μάννα, κυπαρίσσου πρίσματα, καὶ κυπείρου ῥίζα κοπεῖσα, στῆσαι δὲ καὶ σχοῖνον τὸν ἡδύοσμον, καὶ κάρδαμον, καὶ ἶριν, ταῦτα πάντα μίσγειν, περιχέαι δὲ ῥόδινον ἔλαιον

[1] Ἄλιφα θ. – μῦρον D. — [2] ἢ θ. – ἢ om. vulg. – ἐλάφου.... βάλανον om., restit. al. manu D. — [3] καὶ pro ἢ D. – μῦρον D. – ποι. om. Cθ. – ἀναλαβεῖν Cθ. — [4] π.... ἔωσιν om. L. – ὑστέρας καθαίρειν pro πυρίαι.... καθαίρονται Cθ. – Ante οἶνον addunt πυριῆν Cθ. – ἴσον κέρας λίως τρία θ. – ἡμιχόεα vulg. – ἡμίχοα Cθ. – καὶ καρποῦ μαράθου τετάρτην μοίραν θ. – μαράθρου D, Lind. – ῥίζα C. – τοῦ om. C. – ἀλίφατος ἡμικοτύλιον θ. – ἡμικοτύλια C, Ald. – ἐχῖνον K. – ἐᾶσαι (ἐάσαι HI; ἐράσαι θ) vulg. – πυριάσαι θ. – σκίλλαν θ. — [5] ἐξαπινέοι I. – καὶ ῥόδων C. – καθαρὰν J. – κινάμωμον D. – ὀποῦ vulg. – ὀπὸν J. – τούτων φθοις (sic) ποιῆσαι θ. – δραγμ. J. – ἐπίθες om. K. – τρῦφος I. – ἀμφ. (ἀμφορέος θ; ἀμφοτέρεος C; ἀμφοτερέως FGHIKL, Ald.) (addit καὶ θ) (addunt ἢν CDFGHIJKθ, Ald.) διαφ. ἢ (ᾖ CDHJKθ) χρῶ (χρέο C) vulg. — [6] Foes propose de lire ἐμβάλλειν ou ἐμβάλλων; il a peut-être raison. – εἰς D. – τὸ ἔλαιον θ. — [7] ἢ πάντα ὅσα θ. – μῦρα D, Ald. – καὶ om. C. — [8] ἐπιβαλεῖν C. – δὲ ἐπὶ (δ' ἐς θ) τὸν β. (βολιτὸν CDFGIJLθ; βόλιτον K, Lind.; βόλυτον H) τὸν (καὶ pro τὸν θ) στ. vulg. – ἄριστα θ. — [9] δάφνην καὶ μυρσίνην κόψας καὶ κυπαίρου θ. – σμύρνης pro μυρ. C. – κυπέρου vulg. – κυπείρου D. – ὀργάσασθαι CFHIJKθ. – ἐργάσασθαι vulg. – Gal. Gl. : ὀργάσασθαι, ἀναμίξαι, συγκερά-

avec de la laine ce qui dégoutte et appliquer en pessaire. Ou bien, graisse d'oie, cire blanche, résine, parfum de rose. Ou bien, faire fondre moelle de cerf ou graisse soit de mouton, soit de chèvre, blanc d'œuf, parfum de rose, faire un gland ou enrouler dans de la laine.

206. (*Fumigations, mondifications de l'utérus.*) Fumigations par lesquelles on purge les matrices si elles sont dures : vin très-doux, coupé d'eau par la moitié, trois demi-conges attiques, racine et graine de fenouil un quart, huile de rose demi-cotyle, mettre dans un vase dont le couvercle a un pertuis, verser le vin, introduire un roseau dans le pertuis, et donner la fumigation, puis la femme mettra la scille en pessaire. Si des douleurs intenses surviennent subitement et qu'il y ait des défaillances, feuilles de rose, cinnamome, myrrhe pure, nétopon, suc de pavot, faire de tout cela des pastilles du poids d'une drachme, les mettre sur un tesson de cruche, et, quand il est rouge, s'en servir en fumigation; ou styrax, autant qu'on en met dans l'huile (de styrax), s'en servir de la même façon; tout ce qui se met dans les parfums, piler et tamiser, jeter dans la bouse de vache enduite de nétopon, ainsi que le styrax, l'huile de rose de première qualité, et le parfum d'Égypte ; employer en fumigation après les règles. Ou feuilles de laurier et de myrte, fruit de cypérus, piler, pétrir avec du parfum blanc égyptien et du nétopon, et employer en fumigation sur la bouse de vache. On emploie encore la manne, la sciure de cyprès, la racine broyée de cypérus, on ajoute du jonc odorant, du cardame et de l'iris, on mêle le tout ensemble, on verse de l'huile de rose et du nétopon, et on s'en sert avec de la grosse farine de blé. Ou bien, brûler

σαι. — [10] καὶ om. θ. - ἐπιβολιτῶ FIK. - ἐπιβολητῶ G. - ἐπιβολυτῶ H. - ἐπιβολίτω C. - βολιτῶ DJL, Ald. - βολίτῳ Lind. — [11] καὶ om. C. - κυπέρεως vulg. - κυπέρου CFHIJL, Lind. - κυπαίρου θ. - κυπείρου D. - ῥίζας θ. - κόψας Cθ. - στῆσαι C. - σῆσαι vulg. - δὲ καὶ om. θ. - σχῖνον D. - σχίνον HK. - τὸν εὔοσμον (εὔοσμον om. Cθ) ἡδύοσμον vulg. - πάντα om. CFθ. - δὲ (addunt ἐν DFGIJK) αὐτοῖς (αὐ. om. Cθ) ῥόδ. vulg. - χρῶ θ. - κρίμνοις D. - κριθῆσι J. - χριθμοῖσι CFGHIK, Ald.

καὶ νέτωπον, καὶ χρέο ἐν κρίμνοισι πυρίνοισιν. Ἢ ῥητίνην ἐπὶ [1] νεοπήκτου κεραμίδος θυμία, ἐπιβαλὼν καστόριον ἤ τι τῶν ἀρωμάτων· τὴν δὲ κεφαλὴν τέγγειν ἐλαίῳ ῥοδίνῳ, [2] ἐς δὲ τὼ ὦτε μύρσινον ἢ μήλινον. Ἢ λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας δίδου πίνειν, καὶ ἐν ὕδατι θερμῷ καθέζεσθαι. [3] Ἢ ἐλαίας λευκὰς, πρὶν ἂν ἔλαιον ἀνεῖναι, καταχνίσαι καὶ αὖηναι, καὶ ἐς οἶνον τρίβειν εὐώδεα, [4] καὶ ἐμβάφιον ἀττικὸν διδόναι. Ἢ κανθαρίδων τὰς γαστέρας, ἢ ἀδίαντον, καὶ νίτρον ἐρυθρὸν αἰγύπτιον, [5] καὶ ῥίζαν νάρθηκος, καὶ σελίνου σπέρμα, ταῦτα διδόναι· ἢν δὲ ἐπιλάβῃ στραγγουρίη, ἐν ὕδατι [6] καθιζέσθω, καὶ γλυκὺν πινέτω. [7] Ὀδύνης ὑστερέων· οἶνον ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας, ὡς τρία ἡμίχοα ἀττικὰ, καὶ μαράθου ῥίζας καὶ τοῦ καρποῦ τριτημόριον, καὶ ῥοδίνου ἐλαίου ἡμικοτύλιον, ταῦτα ἐμβάλλειν ἐς ἐχῖνον καινὸν, καὶ τὸν οἶνον ἐπιχέαντα πυριῆν, καὶ τὴν σκίλλην προστίθεσθαι, ἔστ' ἂν φῇ τὸ στόμα μαλθακὸν εἶναι καὶ φαρκιδῶδες καὶ εὐρύ· καὶ ἢν [8] ἑλκωθῇ, καὶ ὀλοφλυκτίδες ἔωσιν, ἄμεινον στέατος χηνείου ἀλείφατι ξὺν λιβανωτῷ θεραπεύειν. [9] Ὑπὲρ ὑστερέων ὀδύνης· πευκέδανον, ἀριστολοχίαν, πάνακες, ταῦτα ὁμοῦ μῖξαι ἐν γλυκεῖ οἴνῳ, καὶ χλιήναντα πῖσαι, καὶ μήκωνος λευκῆς ῥοφέειν, καὶ κνίδης σπέρμα. [10] Ἄλλο· πυρίη θυμιητὴ, ἢν ὀδύνη ἔχῃ· σίδια ῥοιῆς γλυκείης, λωτοῦ πρίσματα, ἐλαίης φύλλα ξηρὰ κεκομμένα, ταῦτα ἐλαίῳ ὀργάσασθαι χρὴ καὶ ἐπὶ βόλβιτον πεπυρωμένον ἐπιῤῥίπτειν· ἢ χαλβάνην, σμύρναν, λιβανωτὸν, [11] ἔλαιον λευκὸν αἰγύπτιον ἐπὶ οἰ-

[1] Νεοπτήτου CHθ. – νεοκτήτου Vatic. ap. Foes. – τι om. Cθ. — [2] ἐν DGK. – τῶ DG. – τὸ οὖς Cθ. – μέλινον C. – δοῦναι Cθ. – πιεῖν θ. – καθίζεσθαι Hθ. — [3] ἡ CDKLθ, Lind. – καὶ vulg. – ἐλαίης λευκῆς vulg. – ἐλαίας λευκὰς interpretes, Foes in not., Lind. – ἂν om. Cθ. – ανιναι (sic) θ. – εἰς vulg. – ἐς DK, Lind. – ἐπ' Cθ. – εὐώδαια F. — [4] καὶ om. CDFHIJKθ. — [5] καὶ θ. – καὶ om. vulg. – καὶ σελίνου ελιου (sic) σπέρματα θ. – λεῖα σπέρμα C. – λεῖον (λ. om. θ) ταῦτα vulg. — [6] ἐγκαθιζέσθω θ. – γλυκὺ DHJK. — [7] ἢν μάλιστα (μ. om. C) πνίγηται (πνίγεται Ald., Frob.; γίγνηται, D al. manu πνίγηται, FGHJL, Lind.) ἐν (ἐν om. CH) ὀδύνῃ vulg. – ὀδύνης pro ἢν.... ὀδύνῃ θ. – οἰνόν τε (τε om. Cθ, Ald.) vulg. – μαράθρου D, Lind. – τριτήμορον θ. – ἐπιβάλλειν Q'. – ἐμβαλεῖν θ. – ἐχίνον K, Frob. – κενὸν CH. – ἐπιχέοντα C. – πυριῆν DHJ. – πυριᾶν vulg. – καὶ φαρμακιῶδες C (θ, φαρκιδῶδες). – καὶ φ. om. vulg. — [8] ἑλκεωθῇ C. – φλυκτίδες (ὀλοφλύκτιδες Cθ; φλυκτίδαι K) πανταχοῦ αὐτοῦ (π. αὐ. om. Cθ) ἔωσιν vulg. – χηνίου Cθ. – χοιρίου L. – ξὺν D, Lind. – σὺν vulg. – θεραπ. om. Cθ. — [9] ὑπὲρ om. Cθ. – περὶ D. – ὑπ. ὑστ. ὀδ. om. L. – πευκέδανον D. – πευκεδανὸν vulg. – πευκ. αυον ἀριστολοχιον (sic) θ. – πάντα pro ὁμοῦ Cθ. – ἐν

de la résine sur un plat de terre récemment fabriqué, y jetant du castoréum ou quelque autre aromate; on arrose la tête avec de l'huile de rose, et on verse dans les oreilles de l'huile de myrte ou de coing. Ou bien, faire cuire des pois chiches blancs et du raisin sec, et donner à boire; la femme prendra un bain de siége chaud. Ou bien, olives blanches avant qu'elles aient de l'huile, broyer, sécher, piler dans du vin odorant, et en donner un oxybaphe attique. Ou bien, ventres de cantharides, ou adiante, nitre rouge d'Égypte, racine de férule, graine d'ache, donner à prendre; s'il survient de la strangurie, bain de siége, et vin doux en boisson. Pour la douleur de matrice : vin d'excellente qualité, coupé d'eau par moitié, trois demi-conges attiques, racines et graines de fenouil un tiers, huile de rose une demi-cotyle, jeter dans un vase neuf, verser le vin, et donner la fumigation; puis la femme mettra en pessaire la scille, jusqu'à ce qu'elle dise que l'orifice utérin est souple, ridé et large; et, s'il se forme des ulcérations et qu'il y ait des phlyctènes, le mieux c'est de traiter avec la graisse d'oie et l'encens qu'on y incorpore. Pour la douleur utérine : peucédanum, aristoloche, panacés (*echinophora tenuifolia*), mêler ensemble dans du vin doux, faire tiédir, et boire; prendre en potage de la graine de pavot blanc et de la graine d'ortie. Autre : fumigation aromatique s'il y a douleur : écorce sèche de grenade douce, sciure de lotus, feuilles sèches d'olivier pilées, pétrir avec de l'huile et jeter sur de la bouse de vache incandescente; ou bien, galbanum, myrrhe, encens, parfum blanc égyptien, sur des sarments de vigne. Autre fumigation plus solide par l'asphalte : asphalte de l'île de Zacynthe, poil de lièvre, rue, coriandre sèche, piler le tout ensemble, faire

om. C. – χλιήναντα DH, Lind. – χλιάν. vulg. – ῥυφεῖν θ. — [10] ἄλλη (ἄλλο θ) πυρίη (ἄ. π. om. L) θυμίη (θυμίη om. D; θυμία C; θυμιητὴ θ) vulg. – ῥυῆς GI. – ὀργάσασθαι C. – ἐργάσασθαι vulg. – καὶ om. Cθ. – ἐπιβολιτὸν J. – ἐπιβόλιτον C. – βολυτὸν FGIK. – βολιτὸν HL, Ald. – βόλιτον θ, Lind. – πεπυρωμένων vulg. – πεπυρωμένον FGJθ, Lind. – ἐπιριπτέειν θ. — [11] Post ἔλ. addunt περιχέαι C; περιχέας θ; περιχέε Vatic. Codd ap. Foes. – Gal. Gl. : οἰναρίδων ἀμπέλου κλημάτων.

ναρίδων. [1] Ἑτέρη πυρίη ἡ δι' ἀσφάλτου στερεωτέρη· [2] ἀσφάλτου ζακυνθίης, λαγωοῦ τρίχας, πήγανον, κόριον ξηρὸν, ταῦτα τρίψας πάντα, φθοΐδας πλασάμενον θυμιῆν. [3] Ἢ πίσση, σανδαράκη, κόψας λείην, μῖξαι πρίσματα κυπαρίσσου, καὶ τούτοις κηρὸν, καὶ μύρον ἐπιχέας, φθοΐδας ποιέειν, καὶ ἐπὶ πυρὶ θυμιῆν. [4] Ἢ αἰγὸς κέρας καταπρίσας, ἐλαίῳ ἀναχυχᾷν, ἐπὶ πυρὶ θυμιῆν. Ἢ ὀρύξας βόθρον, γίγαρτα [5] φρύγειν, καὶ τὴν σποδιὴν ἐμβάλλειν ἐς τὸν βόθρον, καὶ οἴνῳ εὐώδει νοτίσας τὰ γιγάρτα, περικαθεζομένην πυριῆσθαι· ἔστωσαν δὲ τῶν γιγάρτων δύο μοῖραι, καὶ αὗται δὲ αὖαι ὡς μάλιστα.

207. Ἢν [6] δὲ ὑστέρη ἀλγέῃ ἄχρι κύστιος, πράσου καρπὸν ξὺν ὕδατι τριπτὸν πίνειν· ἢ κυκλαμίνου [7] ῥίζην ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν, καὶ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω νῆστις, καὶ χλιάσματα προστιθέναι· ἢ [8] σκορόδου μώλυζαν καὶ νίτρον ὀπτὸν καὶ κύμινον, λεῖα ποιήσας, μέλιτι δεύων προστίθει, καὶ τῷ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω.

